


Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0001-3

Eb 18

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0002-9

# ΓΝΩΜΑΙ ΠΟΙΗΤΩ͂Ν:

# VERSVS SENTENTIOSI, EX GRAECORVM POEMATIS VETVSTIS

collecti, ad literarum ordinem digesti, & nunc auctiores editi, opera & studio

*Bartholomæi Schönbornii Viteb. D.*



VVITEBERGÆ
*Excudebat Zacharias Lehman,*
*M. D. LXXXIII.*

3 158.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0003-4

# ORNATISSIMI VIRI, PRVDENTIA ET VIRTVTE PRAESTANTIS,

## Dn. Simonis Galliculi Stirensis &c. præclaræ indolis atq; spei filiis, Iohannes Schönborn.

## S. D.

*MEMINI ME EX PATRE meo audire sermonem quendam Philippi Melanthonis V. CL. De Friderico III Imp: Rom: in publica Schola expositum ab illo in hanc fermè sententiam: Quodam tempore ineuntis noui anni pro more ac consuetudine vsitata, misisse & Fridericum filio suo Maximiliano, generosissimæ indolis puero, strenam seu munus quoddam, non tàm precio magnificum & amplum, quàm specie pulchrum ac delectabile: Poma nimirum aurea, recèns ex Italia aduectas nouorum fructuum primitias, lanci argenteæ imposita, quibus nummi aurei drachmales & his ponderosiores didrachmales, itemq́; Rosati nobiles aliquot circumquaq; adiecti*

essent: Atq; offerendi ista negocium nonnullis è nobilitate, quorum perspecta esset fides atq; prudentia, datum fuisse iniunctumq́; & qualem se erga ista gereret adolescens, accuratè obseruarent. Gesta hæc, vti Imperator præceperat, fuisse. Tum præstantis ingenij, atq; pudoris, Maximilianum adolescentem, aut puerum veriùs, tantam erga Patrem reuerentiæ & subiectissimi studij significationem, voce atq; gestu decoro istis exhibuisse, vt admirationi eius in respondendo facundia, solertiaq́; supra ætatem, cunctis essent; Atq; dixisse inter cætera: lætari se magnopere non tam splendore muneris istius, quantumuis grati, quàm salute atq; incolumitate optimi, charissimi, omniq́; cultu dignissimi parentis sui, & significatione ista paterni erga se amoris. Orare etiam toto pectore Deum æternum, vt & annos vitæ tranquillæ ac felicis in longam ei senectam proroget, & salutarem ac pacatam gubernationem tribuat: Pro munere, gratias submisse agere, quantas animo concipere posit, & cum hac ætate respondere nullo pacto magnitudini beneficiorum paternorum queat, cùm

votis

votis ad Deum conceptis, tùm filio morigero atq; probo dignis officiis, omniq́; pietate & obseruantia perpetua studium referendæ gratiæ sedulò diligenterq́; declaraturum esse. His dictis accepisse in manus donum istud, & mox collectum aurum, humiq́; dispersum iussisse pueros nobiles, qui à cubiculo ipsi essent, inuolare, interq́; se partiri: Lancem autem cum pomis, sibi tanquam munus proprium, diligenter asseruari. Quæ cum singula vti acciderant, renunciata Imperatori seni fuissent, subiecisse eum, hæc verba; Non me de filio opinio fefellit, Ita .n. Facturum sciebam, qui, meo iudicio, in largiendo immodicus, peneq́; prodigus est futurus. Hanc summi Imperatoris diuinationem seu μανλικὴν comprobasse euentum historiæ de Maximiliano loquuntur, fuisse eum, inter cæteras tanto Heroe dignas virtutes, præcipuè liberalitatis ac munificentiæ laudem consectatum, maximumq́; pecuniæ contemtorem, de quo tamen in præsentia nihil attinet plura referre. Hanc verò narrationem vt vestibulo huius libelli Gnomologici præfigerem, recordatio vtilitatum illius fecit, quas sapi-

*entißimus Rex Salamon tali imagine complecti breuiter voluit, cum venustatem dicti in loco atq; tempore vsurpati, comparat elegantißimo pomorum aureorum in lance argentea accumulatorum spectaculo, quo nullum esse pulchrius aut iucundius poßit. Vt enim poma illa, quæ à colore vetustas sic denominauit, cordi robur conciliare existimantur, quo sine & aurum inter καρδιακὰ recensetur: Coloris autem nitor in vtrisq;, cum argenti candore temperatus, oculis gratam ac delectabilem speciem obijcit: Ita γνῶμαι istæ atq; sententiæ generales, non solùm saluberrima præcepta & commonefactiones continent, ac regulæ sunt vitæ atq; actionum humanarum; Verùm etiam sermonis ac scriptorum lumina, egregiaq; ornamenta, si aptè collocata, & parcè vsurpata, non secùs ac gemmæ auro inclusæ, niteant, grataq; voluptate audientium animos, afficiant. Nec verò id solùm, sed & eò amplius affirmare solitum sanctæ recordationis Philippum Mel: intelligo, hominem, quò sit virtutis studiosior, eò & talium dictorũ esse amantiorem. Cum igitur & ad eruditionem augendam & vitam laudabiliter in-*

*stitu-*

ſtituendam huius quoq; libelli lectio profutura eſſe à doctis Viris perhiberetur: denuò eum prælo ſubijcere noſtris placuit, præſertim à parente meo recognitum & plurimorum verſuum acceßione velut locupletatum. Mihi autem recuſum illum ad vos mittere, veſtroq; dicatum nomini cum aliis diſcendi cupidis communicare viſum fuit, partim, quòd aptum id munus exiſtimaretur ſtudiis veſtris, quæ de conſilio optimi Parentis veſtri, magna cum ſpe laudabilis ſucceſſus ingreßi iam eſtis, magiſtro in his vſi Viro cùm totius Philoſophiæ præclara cognitione inſtructo, tùm Poëtices laude excellente, Georgio Mauritio: partim, quod dudum ante id conſecratum honoratæ & antiquæ familiæ veſtræ, nunc aliquanto ornatius redditum, eidem reſtituendum eſſe videretur. Quanquam verò à nobis vtrinq; ea abeſt ætatis maturitas, quæ vim atq; pondera graviſsimarum ſententiarum perſpicere, earumq; vſum animaduertere ſatis poßit: iam tamen perſonare aures noſtras huiuſmodi commonefactionibus non eſt inutile, quarum fructum in omni vita deinceps, iuuante DEO, percepturi ſimus

vberrimum, vt quondam AEschines in Oratione quadam dixit: Ideo pueros ediſcere Poëtarum ſententias debere vt viri facti, vtantur ipſis in magnarum rerum deliberationibus.

Veſtrum nunc eſt, quo inſtituiſtis curſu, per directam, maximeq́; expeditam literarum & virtutis viam, exemplo parentis veſtri, omni laude cumulatiſsimi viri, ad veram gloriam contendere, & meam, ex hoc tenui munuſculo, beneuolentiæ erga vos ſignificationem non aſpernari, meq́; in amicitiam veſtram ſuſcipere: Quæ cum à parentum noſtrorum coniunctione, qua nulla eſſe maior vel arctior poteſt, originem ducat ex hac in nos eam tanquam hæreditatis partem, deriuari & transferri eſt æquiſsimum, ita iubente & Iſocra: πρέπει τοὺς παῖδας ὥσπερ τῆς οὐσίας, οὕτω καὶ τῆς πατρικῆς φιλίας κληρονομεῖν. Bene in Chriſto cum parentibus cariſsimis Valete. Serueſtæ prid: Natalis Domini, incoantis annum ſalutis 1583.

SIMO-

# SIMONI GALLICULO STIRENSI, VIRO INGENIO ET VIRTUTE EXcellenti, B. Schönbornius S. D.

QVO VSVS FVERIM CONSIlio in colligenda sententiosorum versuum silvula, & expositum à me est priore latinorum editione, & repetendum hoc loco esse minimè videtur. Idem verò & nunc propositum mihi fuit, excerpenti de elegantissimis Græcorum poëmatis eas potissimùm γνῶμας, quæ vel ad mores benè formandos, vitamq; rectè ac laudabiliter instituendam accommodatæ forent, aut ad iudicium legentis expoliendum adferre vsum aliquem possent vel quoquo modo scitè arguteq; dicta essent. Atq; huiusmodi quidē sententias ideo γνῶμας ij appellarunt: Quòd propter breuitatem similes essent consilijs aut decretis animi, velut aphorismis, regulæ vitæ continerentur quarum breuis expositio, quòd nullius rationis indigeret, ideo & memoriæ adhæreret firmiùs, & maiorem quoq; haberet delectationem Qua in re excelluisse Græcorum industriam, fœlicitatem, dexteritatemq; in confesso est a-



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0011-8

pud omnes non leuiter eruditos, hancq́; velut palmam ereptam Latinis, iure ſibi illi, omnium iudicio, vendicarunt.

Genera τῶν γνώμων apud Rhetores plura recenſentur: Vt aliud ſit προτρεπτικὸν, aliud ἀποτρεπτικὸν, aliud ἀποφαντικόν: Illa, vel ad ſtudium virtutum ciuilium præmijs propoſitis incitant, vel à vitijs & turpitudine metu infamiæ ac pœnarum deterrent, aut de præcipuis vitæ communis officijs vtiliter monent: Hoc poſterius narrationem continet eorum, quæ plerunq; fiunt, & euentuum caſuumq́; in vita communi, bonorum ſeu malorum, ſuccinctam expoſitionem.

Hanc ſententiarum diſsimilitudinem vel eò etiam conſiderare prodeſt, vt de fine vſuq́; ſingularum moneri iuniores, quorum ſtudiis dicatam hanc eſſe operam noſtram cupimus, poſsint. Cum enim

*Et prodeſſe velint, & delectare Poëtæ.*

non canoros tantùm verſus, rerumq́; inanes pangere ſtuduerunt, ſed eiuſmodi, quibus ſapientia humana contineretur vniuerſa. Hinc illa in poëmatis eſt doctrinæ copia & præſtantia, ex abditis plurimarum artium atq; doctrinarum fontibus hauſta; hinc illa ſententiarum grauitas, verborum vis atq; nitor, vt ad delectationem non minus, quam ad vtilitatem comparata eſſe videantur.

Studijs

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0012-4

Studiis ergò diſcentium, & moribus, pariter conducet ſedula Poëmatum caſtorum lectio, atq; de his excerptarum inprimis ſententiarum illuſtrium, obſeruatio, cuiusmodi farraginem in hoc opuſculo congeſsi. Atq; vt de poſteriore vſu tanquam digniore, priùs agamus, conſtat eruditorum teſtimoniis conſentientibus, plerasq; has γνῶμας eorum non eſſe, quibus adſcribuntur, autorum, ſed ex primorum ac ſanctiſsimorum in Eccleſia patrum voce doctrinaq́; ſparſas ad poſteros, velutq́ue per manus traditas. Id quod de Phocylidæ ac Pythagoræ carminibus Græci fatentur ipſi, collecta ea ex vetuſtioribus Sibyllarum monumentis eſſe. Plæræque enim de iuſticia, de cultu numinis, de veritate, caſtitate, cæterisq́ue virtutibus grauiſsimè concionantur, aut politica œconomicáve præcepta continent, cum Decalogo congruentia, quatenus is de ciuili externaq́; diſciplina concionatur: multæ, ſcelerum pœnas commemorant, aut rectè factorum præmia, virtutisq́ue pulchritudinem commendant & inculcant aut de fragilitate rerum humanarum, fortunæq́ue inconſtantia & aliorum in vita euentuum varietate monent. Harum rerum conſiderationem moribus prodeſſe, dubitari non poteſt.

Nec verò nunc ijs reſpondendum prolixè videtur, qui, cum nonnulla à pietate, vel caſtitate aliena deprehendant admixta eſſe

Poeta-

Poetarum quorundam ἐρωτογράφων scriptis, explodendam in vniuersum è scholis sacris poesin esse contendunt. Quasi rosas aspernemur ideo, quod vepribus & spinarum aculeis, quibus lædi manus admotas necesse est, septæ sunt atq; circumdatæ? Nihilominus, vt has studiosè vitamus, illas decerpimus: ita quæ casta, pia, innoxia sunt carmina, accuratè deligimus amamus atq; exosculamur: Quæ moribus corruptelam adferre aliquam possunt, meritò detestamur, nec teneræ ac lubricæ ætati proponimus. Delectus igitur est adhibendus, & quæ sanam doctrinam pietatemque sapiunt, à cœno profanitatis, turpitudinis, obscœnitatis & lasciuiæ sunt seiungenda. Verùm de ijs fructibus, qui è castis Musarum fontibus ad mores redeunt, videtur in præsentia dictum esse satis.

Adijciendum nonnihil est de orationis genere ac de verbis, quibus res longè vtilissimę exponuntur suauissimè, & quo modo hæc studiis vtilitatis adferre plurimum credi debeat. Philosophiæ purioris thesauros abditos latere in Poesi, à multis est alibi demonstratum. Res igitur hæc bonas & cognitione non indignas continet, quibus aut voluntates flectuntur ad virtutis studium, & cupiditatibus freni inijciuntur, aut mens atque intelligentia humana de naturæ totius

opifici-

opificio ac mirandis viribus atque effectio-onibus imbuitur, & deliberationes in plærisque vitæ partibus reguntur. Ea, cum & genere ſermonis exponantur minimè vulgari aut plebeio, vago, ſolutoque, ſed exquiſito numerisque adſtricto: Ita fit, vt ſuauiſſimus ille lectiſsimarum vocum concentus, rerum ipſarum, bonitatem mirificè condiat dignitatem exornet, aures animosque altiùs ſubeat, veraque voluptate perfundat. Quamobrem nec huius etiam libelli lectionem quiſquam iure faſtidierit, qui præterquam quod grauiſsimas commonefactiones vitæ moribusque vtiles continet, etiam ad dicendum ſcribendumque ac imitandi rationem vniuerſam momenti plurimum adferet. Ex hoc enim, qui metiendi carminis rationem perceperunt, ſelectiſsimorum verſuum ſupellectilem quaſi quandam ſibi comparabunt, qua inſtructi, ipſi ſe ad ſcribendum feliciùs cōferunt, vbi ex Philoſophia omnium ferè diſciplinarum ſcientiam, quæ ad benè beateq; viuendum pertinent, rectè perceperint. Tum demum huiuſmodi floſculis ſermonem et ſcripta, tanquam auro purpuram, licebit illuſtrare.

Nec verò animos ſolùm paſcent his legendis, verùm etiam adiungent operam ſtudiumque referendi ſingula dicta ad locos communes: ac inprimis ad Decalogi virtutes, vitia, præmia, pœnas. Cumque vna ſæpe

ſenten-

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0015-1

ſententia, multi ponderis latéque patentem commonefactionem includat argumentum dicturo vel ſcripturo præbebit amplißimum. Itaque euoluendum erit atque explicandum verboſiùs, quantum in vno quolibet dicto lateat ſapientiæ reconditæ. Illuſtranda quoque ea exemplis erunt hiſtoriarum omnium temporum, ſacrarum atque ethnicarum. Sic demum opera in his cognoſcendis ediſcendisque benè ponetur, & voluptati verſuum iuncta vtilitas, nihilominus de rebus plurimis docebit lectorem, quàm oblectabit.

Hanc me non affinxiſſe laudem ſtudio huic vel gratiæ cauſſa, vel iudicij errore, teſtabuntur experiundo, qui volent. Etſi enim tenuia hæc atque friuola iudicabunt nonnulli οἷοι νῦν βροτοί εἰσιν: liberalia tamen ingenia decet maiorum potiùs prudentiæ atque conſiliis obtemperare, quàm ſtultæ multitudinis κροτοθορύβῳ permoueri.

Meminimus ipſi, quam familiaria, quàmque grata huiusmodi fuerint exercitia P. Melanthoni, cuius præclarißimo ac pleno venerationis nomine commemorato, omnis propè doctrinæ humanæ conſummatio, audientis animo oboritur? Is vt primus noſtro ſæculo, quaſi lumine quodam prælato ad rectè ineundam ſtudiorum rationem viam monſtrauit, et artes liberales omnes in veterem

dignita-

dignitatem vindicauit, ſuoque nitori reſtituit, ijsque meritis nomen ſuum æternis conſignatum atque impreſſum ingenij monumentis, per orbem terrarum fama diſſeminauit: Is, ergo, quam ſedulus, atq; aſsiduus adoleſcentiæ inter alia hortator fuerit cognoſcendorum quoque poëmatum veterum, & ſcribendorum verſuum, recordamur. Hunc ducem atque magiſtrum pulcherrimi vtiliſsimique ſtudij ſequantur diſcentes, in illius veſtigiis pedes ſtatuant, hac mea etiam qualicunque voce, hocque labore meo, commonefacti.

Ad te verò, Simon cariſs. mittendum eſſe hoc ἐγχειρίδιον, tuo nomini inſcriptum, tibique dudum debitum munus cenſui, quod te præclarè intelligere hæc noſtra ſtudia eaque magnifacere, intellexi ex domeſtica conſuetudine totius quadriennij, quo diſcendæ pietatis atque optimarum artium cauſa nobiſcum es iucundè conuerſatus. Accedit amor erga te meus ſingularis, ex comprobatione ſuauiſsimi ingenij tui, probitatis, candorisque profectus: Cui tu quidem reſpondere quibuſcunque officijs conſtanter ſoles. Cumque eruditionem minimè contemnendam & laudem eximiam ingenio ſtudioque ſis conſecutus, lætor equidem ac fruor iam nunc per meo erga te ſtudio quaſi præſentibus honoribus tuis, & percipio gaudia maxima futuræ

etiam

etiam dignitatis: De quo & patriæ tuæ & Reib. gratulandum eſſe publicè duxi. Nec enim, cum ſponte tua incumbas ad verum decus aſſequendum, hortabor nunc te pluribus, vt ſimilis eſſe tui pergas. Illud potiùs rogo, vt hanc teſtificationem mei erga te ſummi amoris, & iudicij de virtutibus tuis, grato accipias animo, & ſtudiorum ſocietate initam amicitiam conſtanter colas, meq́; abſentem, vt cœpiſti, amare pergas. Vale.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0018-7

# A.

PHOCYL.

Ἀρχεῦς καὶ πόλιας σοφίη, καὶ νῆα κυβερνᾷ·
ἄρχον γὰρ τε λέγουσιν ἀμαλθείης κέρας
εἶναι.

STOBEVS.

Ἀείσω ξυνετοῖς, θύρας δ' ἐπίθεσθε βέβηλοι.

HOMER. ILIAD. Ψ.

ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους.

HESIOD. α.

ἐγγὺς γὰρ ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι λεύσσουσιν, ὅσοι σκολιῇσι δίκῃσι
ἀλλήλους τρίβουσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.

HOM. ILIAD. α.

ἀλλὰ πίθεσθ', ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο.
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.
ἀλλά σύ τόνγ' ἐπέεσσι καθάπτεσθαι μαλακοῖσι,
αὐτίκ' ἔπειθ' ἵλαος ὀλύμπιος ἔσσεται ἡμῖν.

ILIAD. β.

ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώ-
πων.

Q. CALAB. LIB. XII.

ἄλγεα μὲν περὶ πᾶσι θεοὶ θέσαν ἀνθρώποισιν,
ἐσθλὰ πολλὸν ἄπωθε, πόνον δέ γε μέσσον ἔλασ-
(σαν.

HOM. ILIAD. δ.

ἀλλ' οὔπως ἅμα πάντα θεοὶ δόσαν ἀνθρώποισιν.

ILIAD. θ.

ἀλλὰ ζεῦ, τό δε πέρ μοι ἐπικρήηνον ἐέλδωρ.

ILIAD. η.

ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

ILIAD. ν.

ἀλλ' οὔπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα,
ἄλλῳ δ' ἐν στήθεσσι τίθει νόον εὐρύοπα ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι.

ILIAD. π.

ἀλλ' αἰεί τε διὸς κρείσσων νόος, ἠέπερ ἀνδρῶν,
ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο
νίκην.

ILIAD. ρ.

ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται.
τὰ δὲ καὶ Διῒ πάντα μελήσει.

ILIAD. σ.

ἀλλ' οὐ ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.

ILIAD. τ.

ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύ-
μενοί περ.
ἀλλά τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ.

ILIAD. τ.

ἀλλὰ πάσασθαι ἄνωχθι θοῆς ἐπὶ νηυσὶν ἀχαιούς,
σίτου καὶ οἴνοιο τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.

ILIAD. ω.

ILIAD.

ἄλλοτε μὲν τε κακῷ τις κύρεται ἄλλοτε δ' ἐσθλῷ.

ODYSS. γ.

ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.

ODYSS. ε.

ἀλλὰ μάλ' οὔπως ἐστὶ διὸς νόον αἰγιόχοιο
οὔτε παρεξελθεῖν ἄλλον θεὸν, οὔθ' ἁλιῶσαι.

ODYSS. ἰῶτα

ἀλλ' ἐμὸν οὔποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον.

ODYSS. κ.

ἀλλ' οὐ γάρ τις πρῆξις ἐγίνετο μυρομένοισιν.

ODYSS. λ.

ἀλλ' αὕτη δίκη ἐστὶ βροτῶν ὅτε κέν τε θάνωσιν &c.

ODYSS. ξ.

ἀλλ' ἄλλως κομιδῆς κεχρημένοι ἄνδρες ἀλῆται
ψεύδοντ', οὐδ' ἐθέλουσιν ἀληθέα μυθήσασθαι.
ἄλλος γάρ τ' ἄλλοισιν ἀνὴρ ἐπιτέρπεται ἔργοις.

ODYSS. ο.

ἀλλ' ἕνεκ' οὐλομένης γαστρὸς κακὰ κήδε' ἔχουσιν
ἀνέρες, ὧν τιν' ἵκηται ἄλη καὶ πῆμα καὶ ἄλγος.
ἀλλὰ τάγε ζεὺς οἶδεν ὀλύμπιος αἰθέρι ναίων.

ODYSS. ρ.

ἀλλὰ τὸν αἰδέομαι καὶ δείδια, μή μοι ὀπίσσω

 νεμεσσηθῇ / νείκη.

νηκείῃ. χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί.

ODYSS. τ.

ἀλλ' οὐ γάρ πως ἐστὶν ἀΰπνους ἔμμεναι αἰὲν
ἀνθρώπους, ἐπεὶ γάρ τοι ἑκάστῳ μοῖραν ἔθηκαν
ἀθάνατοι θνητοῖσιν ἐπὶ ζείδωρον ἄρουραν.

ODYSS. υ.

ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους
ὁππότε κὲν βασιλεῦσιν ἐπικλώσονται ὀϊζύν.

ODYSS. χ.

ἀλλὰ τίν' οὐ φεύξεσθαι ὀΐομαι αἰπὺν ὄλεθρον.

HESIOD. α.

ἀλλὰ τὰ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται,
ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται.

HESIOD. β.

ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο.
ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι.
ἄλλοτε μὲν θ' ὑπὸ ποτὶ ἕσπερον, ἄλλοτ' ἄησι..

HESIOD. γ.

ἄλλος δ' ἀλλοίην αἰνεῖ παῦροι δέ τ' ἴσασιν.
ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ

THEOGNIS.

ἄλλοτε

ἄλλοτε πολλ' ἔχεις, ἄλλοτε παυρότερα.

ἀλλὰ τὰ μὲν προβέβηκεν ἀμήχανόν ἐστ' ἐστὶ γενέσθαι.

ἔργα, τὰ δ' ἐξοπίσω τῇ φυλακῇ μελέτω.

ἀλλά τοι ἀλλότριον κῆδος ἐφημέριον.

PYTHAG.

ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῶν γένος ἐστὶ βροτοῖσιν.

THEOCRIT. IDYL. κ.

ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρίνειαν ὄνειρον

IDYLL. λ.

ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίγνεται ἐν χειμῶνι.

IDYLL. λβ.

ἄλλον δ' ἄλλα ἔθηκε θεὸς γ' ἐπιδευέα φωτῶν.

ORPHEI.

ἀλλ' οὐκ ἔσθ' ὑπαλύξαι, ἃ δὴ πεπρωμένα κεῖται.

EMPEDOCLIS.

ἀλλὰ τὸ μὲν πρῶτον νόμιμον, διά τ' εὐρυμέδοντος.

αἰθέρος ἠνεκέως τέταται, καὶ ἀπλέτου αὐγῆς.

Q. CALAB. LIB. III.

ἀλλ' οὐ πάντα τελοῦσι θεοὶ μογεροῖσι βροτοῖσι.

LIB. VIII.

ἄλλοτε γάρ τε φίλη πέλει ἠώς, ἄλλοτε δ' ἐχθρή.

LIB. XIII.

ἄλλον δ᾽ ἄλλα κέλευθα φέρει στονόεντος ὀλέθρου.

OPPIAN. LIB. V.

ἀλλά τις ἀτρεκέως, ἰκέλην μακάρεσσι γενέθλην
ἀνθρώποις ἀνέφυσε, χερείονα δ᾽ ὤπασεν ἀλκήν.

HOMER. ILIAD. γ

ἀμφότερον, βασιλεύς ἀγαθὸς, κρατερός τ᾽ αἰχμητής.

PHOCYL.

ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος, καὶ ὁ κλέψας.

Q. CALAB. LIB. VIII.

καὶ ἀνέρι πολλάκις ἐσθλῷ
ἀμφεχύθη μέγα πῆμα, λυγρῷ δ᾽ ἐπικάππεσεν ὄλβος.

ATHENÆUS:

Ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν,
ἀλλ᾽ ἅμα τῷ φυσᾶν χ᾽ ὡ νόος ἐκπέταται.

THEOCRIT.

Ἀνδρῶν αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω
καὶ πύματος καὶ μέσσος.

HOMER. ILIAD. ζ.

ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγ᾽ οἶνος ἀέξει.

ILIAD. ζ. θ.

ἀνέρες ἐστὲ φίλοι μνήσασθε δὲ θούριδος ἀλκῆς.

ILIAD. ι.

ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε ληϊστή,
οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος
ὀδόντων.

ILIAD. ω.

ἄνσχεο μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος.
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.

ODYSS. ο.

νεμεσσῶμαι δὲ καὶ ἄλλῳ
ἀνδρὶ ξεινοδόκῳ ὅς κ' ἔξοχα μὲν φιλέῃσιν

ODYSS. π.

ἔξοχα δ' ἐχθαίρῃσιν. ἀμείνω δ' αἴσιμα πάντα.
οὐδέ κεν εἴη
ἄνδρε δύω πολλοῖσι καὶ ἰφθίμοισι μάχεσθαι.

HESIOD. α.

ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

THEOGNIS.

ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ
αἰδώς,
οἳ νῦν ἐν πολλοῖς ἀτρεκέως ὀλίγοι.
ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν,
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.
ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίνεται οὐδείς.

MIMNERMI

οὐδέ τις ἐστὶν
ἀνθρώπων ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδῷ.

THEOCR. IDYL. XVI.

ἀνθρώποις ἀπάνευθε τί γὰρ χαρίτων ἀγαπατόν.

IDYL. κζ.

ἀνθρώπων, σωτῆρα ἐπὶ ξυροῦ ἤδη ἐόντων.

IDYL. λα.

καὶ ὡς οὐκ ἐστὶν ἀλύξαι.
ἀνθρώπους, ὅτι μοῖρα κατὰ κλωστῆρος ἐπείγει.

HOMER. APUD SUIDAM.

ἀνδρὸς μὲν παῖδες στέφανοι, πύργοι δὲ πόληος.

TIMONIS.

ἄνθρωποι κενεῆς οἰήσιος ἔμπλεοι ἀσκοί.

SIBYLLA:

ἄνθρωποι, τί μάτην ὑψούμενοι, ἐκριζοῦσθε.

APOLLON. LIB. II.

οὐδέ τις ἔτλη
ἄντιον αὐγάσσασθαι ἐς ὄμματα καλὰ θεοῖο.

Q. CALABRI LIB. III.

ἀνδράσι γὰρ πινυτοῖσι πέλει νόος ἤπιος αἰεί.

LIB. VIII.

ἀνδράσιν ἐκ καμάτοιο πέλει θαλίη τε καὶ ὄλβος.

NAUMCHII.

ἀνδρὶ γὰρ ἀχαλόωντι παραίφασις ἐστὶν ἄκοιτις.

A.

IN SVIDA.

ἀντ᾽ εὐεργεσίης Ἀγαμέμνονα τίσαν Ἀχαιοί.

THEOCR. IDYLL. κε

Ἁ πενία Διόφαντε μόνα τὰς τέχνας ἐγείρει.
αὕτα τῶ μόχθοιο διδάσκαλος. οὐδὲ γὰρ εὕδειν
ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέλεδωναι &c.

HOMER. ILIAD. ε.

ἄρης τε βροτολοιγὸς ἔρις τ᾽ ἄμοτον μεμαυῖα.
ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔτινα οἶδε θέμιστα.

ODYSS. δ.

ἀργαλέος γάρ τ᾽ ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι.

HESIOD. α.

ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μέσσοθι φείδεσθαι. δειλὴ δ᾽ ἐνὶ πυθμένι φειδώ.

THEOGNID.

ἀργαλέον φρονέοντα παρ᾽ ἄφροσι πόλλ᾽ ἀγορεύειν.
ἀργαλέος παρέων, καὶ φίλος εὖ τ᾽ ἂν ἀπῇς.

PHOCHYLL.

ἀρκεῖσθαι παρεοῦσι, καὶ ἀλλοτρίων ἀπέχεσθαι.

EPIGRAMMA: α.

ἀρρήτων ἐπέων γλώσσῃ σφρηγὶς ἐπικείσθω.

κρείσσων γὰρ μύθων ἢ κλεάνων φυλακή.

SOLONIS.

ἀρχὴ δ᾽ ἐξ ὀλίγου γίγνεται, ὥς τε πυρός.

PHOCHYLL.

ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ᾽ ἀκέσασθαι.

ἄρσεσιν οὐκ ἐπέοικε κόμη, χλιδαὶ δὲ γυναιξί.

IN SVIDA.

ἀργυρέαις λόγχαισι μάχου, καὶ πάντα νικήσεις.

ἀρχὴν ἰᾶσθαι πολὺ λῷον ἢ τελευτήν.

ANACREON.

ἄρης δ᾽ οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

POLITIANVS.

ἀρκεῖ δ᾽ ἐν μεγάλοις καὶ τὸ θέλημα μόνον.

HOMER. ODYSS. λ.

ἆσέ με δαίμονος αἶσα κακὴ, καὶ ἀθέσφατος οἶνος.

THEOGNID.

ἅσσα δ᾽ ἔσεσθ᾽ ἔσται, ταῦτα θεοῖσι μέλει.

THEOCR. IDYLL. ιζ.

ἀσόργου δὲ γυναικὸς ἐπ᾽ ἀλλοτρίῳ νόος αἰέν.

IDYLL. λϛ.

ἁ σταφυλὶς σταφὶς ἐστὶ, καὶ ῥόδον αὖον ὄλειται.

ARATVS.

ἀστέρες ἀνθρώποισι τετυγμένα σημαίνουσι.

οὐ μὲν πῶς ἀπόλωλεν ἀπευθὴς ἐκ Διὸς ἀστήρ.

ἐκ

ἐκ διὸς ἤδη πάντα πεφασμένα πάντοθι κεῖται.

*PLVTARCH: ET SYBILLA.*

ἀσκὸς βαπτίζῃ, δῦναι δέ τοι οὐ θέμις ἐστίν.

*THEOG.*

ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ πέλεται.

*PLATO IN PROTAGORA.*

αὐτὰρ ἀνὴρ ἀγαθὸς ποτὲ μὲν κακὸς, ἄλλοτε δὲ
ἐσθλός.

*HOMER. ILIAD. I.*

ἀφρήτωρ, ἀθέμιστος ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος.

*ODYSS. θ.*

ἄφρων δὴ κεῖνός γε καὶ οὐτιδανὸς πέλει ἀνὴρ,
ὅστις ξεινοδόκῳ ἔριδα προφέρηται ἀέθλων.
δήμῳ ἐν ἀλλοδαπῷ, ἕο δ' αὐτοῦ πάντα
κολούει.

*HESIOD. α.*

ἄφρων δ' ὅς κ' ἐθέλοι πρὸς κρείσσονας
ἀντιφερίζειν,
νίκης τε στέρεται πρὸς τ' αἴσχεσιν ἄλγεα
πάσχει.

*ILIAD. ε.*

ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔτινα οἶδε
θέμιστα.

*THEOGN.*

THEOGN.

ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ
πίνεθ' ὑπὲρ τὸ μέτρον, κοῦφον ἔθηκε νόον.

THEOCR. IDYL. κε.

ἀλλὰ τὸν ὕπνον
ἀφροντὶς κόπλοισα μακρὰν τὰν νύκτα ποιεῦμαι.

APOL LO PYTHIVS.

ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν.

## B.

RVFFIN. VII. EPIGRAM.

Βαιὸς ὁ χαιρόντων ἐστὶ βίος, εἶτα τὰ λοιπὰ
γῆρας κωλύσει, καὶ τὸ τέλος, θάνατος.

EPIGRAM.

Βάκχου μέτρος ἄριστον, ὃ μὴ πολὺ μήδ' ἐλάχιστον.

THEOCR. IDYL. ιε.

Βαρδίσται μακάρων ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
ἔρχονται πάντεσσι βροτοῖσιν ἀεί τι φέροισαι.

PHOCYL.

Βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
ἀγρούς καὶ πόλιας σοφίῃ καὶ νῆα κυβερνᾷ.

Q. CALAB. LIB. IX.

Βέλτερον ἀπονέειν, ἢ ἐπὶ πλέον εἰλαπινάζειν.

ILIAD. ξ

Βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν ἠὲ ἁλώῃ.

CLEON:

Βλέπων, πράττων καὶ τῇ γλώττῃ πολεμίζων.

THEOGNIS:

Βούλευε δὶς καὶ τρὶς, ὅτοι κ' ἐπὶ τὸν νόον ἔλθῃ.
ἀτηρὸς γὰρ τοι λάβρος ἀνὴρ τελέθει.

PYTHAG.

Βούλευε δὲ πρὸ ἔργου, ὅπως μὴ μῶρα πέληται,
ἀλλὰ

A

ἀλλά πᾶσι δ' ἐκτελέειν, ὥστε μὴ μετέπειτ' ἀνιήσῃ.

HOM. ILIAD. α.

βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι.
βουλεύων, πράττων καὶ τῇ γλώττῃ πολεμίζων.

ILIAD. ξ.

βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν, ἠὲ ἁλώῃ.

HOMER.

HOMER. ODYSS. ρ.

Γαστέρα δ' οὔπως ἐστὶν ἀποκρύψαι μεμαυῖαν
οὐλομένην, ἣ πολλὰ κακ' ἀνθρώποισι δίδωσι

OPPIAN. LIB. III.

γαστὴρ καὶ θήρεσσι καὶ ἑρπηστῆρσιν ἀνάσσει
ἀερίαις τ' ἀγέλῃσι.

HESIOD. α.

γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί.
γηραιὸς δὲ θρήνοις, ἕτερον παῖδ' ἐγκαταλείπων.

SOLON.

γηράσκω δ' αἰεὶ, πολλὰ διδασκόμενος.

MENECRATES.

γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται, ἢν δὲ ποτ'
ἔλθῃ
μέμφεται, ἐστὶ δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον,

ODYSS. θ.

ἐπεί οὐ μέν τοι κασιγνήτοιο χερείων
γίνεται, ὅσκεν ἑταῖρος ἐὼν πεπνυμένα εἰδῇ.

ODYSS. λ.

οἷά τε πολλὰ.
γίνεται ἐν πολέμῳ, ἐπιμὶξ δέ τε μαίνεται ἄρης

ODYSS. ρ.

γιγνώσκω, φρονέω, τάγε δὴ νοέοντι κελεύεις.

ODYSS. T.

ἤτοι μὲν ὄνειροι ἀμήχανοι, ἀκριτόμυθοι
γίνοντ᾽, οὐδέ τι πάντα τελείεται ἀνθρώποισι.

THEOGNIS.

γινώσκοι δ᾽ ἄν τις καὶ κακὸν, εἰ σοφὸς ἦ
γνώμης δ᾽ οὐδὲν ἄμεινον ἀνὴρ ἔχει ἐν γε ἑαυτῷ.

PYTHAG.

γνώσῃ δ᾽ ἀνθρώπους αὐθαίρετα πήματ᾽ ἔχοντας
τλήμονες οἵτ᾽ ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν
ἄλλοτ᾽ ἐπ᾽ ἄλλα φέρονται ἀπείρονα πήματ᾽ (ἔχοντες

ILIAD. θ.

γοργοῦς ὄμματ᾽ ἔχων ἠδὲ βροτολοιγοῦ ἄρηος

PYTHAG.

κρατεῖν δ᾽ εἰθίζεο τῶν δε (θυμοῦ.
γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου, λαγνείης τε καὶ

PLVTARCH. VII. SYMPOS. 6.

γαστρὸς ἀπὸ πλείης βουλὴ καὶ μῆτις ἀμείνων

HESIOD. β.

γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.

MVSEI. (σιωπῇ

γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος, ἐν δὲ
ἔργον ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκούει.

SVIDAS

γραῦς ἀνασκιρτήσασα πολλὴν κονιορτὸν ἐγείρει.

PALLAD. EPIGR. α.

δακρυχέων γενόμην καὶ δακρύσας ἀποθνήσκω.
δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.

HOMER. ILIAD. Φ.

βροτῶν ἕνεκα πολεμίζω
δειλῶν, οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν
ἔδοντες,
ἄλλοτε δὲ αὖ φθινύθουσιν ἀκήριοι

ODYSS. θ.

δειλαί τοι δειλῶν γε καὶ ἐγγύαι ἐγγυάασθαι.

HESIOD. β.

δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κύρσαι.
δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν.

THEOGNIS:

δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν,
ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς.
δειλοὺς δ' εὖ ἔρδοντι δύο κακά, τῶν τε γὰρ
αὐτοῦ
χηρώσει πολλῶν, καὶ χάρις οὐδεμία.
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη.

PYTHAG.

δειλά μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δὲ
τέρπου.

PLVTARHCVS.

Δεῖναι γὰρ κοῖται καὶ ἀποιχομένοιο λέοντος

ILIAD. λ.

δεῖνος ἀνὴρ τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο

ORPHEI.

δειναὶ γὰρ κατὰ γαῖαν ἐριννύες εἰσὶ τοκήων.

ANTIPATRI.

δειλαί τοι δειλοῖσιν ἐφεδρήσουσι πελεῖαι.

SOLON. APVD. PLVTARH.

δῆμος ὧδ᾽ ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίαν ἀνεθεὶς, μήτε πιεζόμενος.

HERODO. VIII.

δῖα δίκη σβέσσῃ κρατερὸν κόρον, ὕβριος υἱόν,
δεινὸν μαιμώοντα, δοκεῦντ᾽ ἀνὰ πάντα
πυθέσθαι.

HOMER. ODYSS. ς.

δέξασθ᾽ οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἐστίν.

HESIOD. β.

δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι, ἢν δ᾽ ἔτι
λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ᾽ ἐτώσια πόλλ᾽
ἀγορεύσεις.

THEOGNID.

οὐ γὰρ ἀνήβαν
δὶς πέλεται πρὸς θεῶν, οὐδὲ λύσις θανάτου.

HOMER.

HOM. ODYSS. ρ.

δμῶες δ' εὖτ' ἂν μηκέτ' ἐπικρατέωσιν ἄνακτες
οὐκ ἔτ' ἔπειτ' ἐθέλουσιν ἐναίσιμα ἐργάζεσθαι.

THEOG.

δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον.

HOMER. ILIAD. Φ.

δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.

OPPIAN. LIB. I.

αἰεὶ μὲν ἀπειρήτων νόος ἀνδρῶν.
δύσμαχος, οὐ γὰρ ἔθέλουσι καὶ ἀτρεκέεσσι πιθέσθαι.

HOMER. ODYSS. δ.

δῶρον δ' ὅ, τι κέ μοι δοίης κειμήλιον ἔστω.

HOMER. ODYSS. η.

δύσζηλοι γάρ τ' εἰμὲν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

HESIOD. α.

δώτη μὲν τις ἔδωκεν, ἀδώτη δ' οὔτις ἔδωκεν.

THEOCR. IDYLL. λδ.

ἦ μεγάλα χάρις
δώρῳ ξὺν ὀλίγῳ, πάντα γὰρ τιμαντὰ τὰ πὰρ φίλων.

PLATO. VII. πολιτ.

δῶρα θεοὺς πείθει, καὶ αἰδοίους βασιλῆας.

# E.

THEOCR. εἰδυλ. ιζ.

Ἐκ διὸς ἀρχώμεσθα, καὶ εἰς δία, λήγετε μοῖσαι.

IDYLL. XV.

ἐκ μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι
χρήματα ἢ ζώοντες ἀμαλδύνουσι θανόντων.

ANAXANDRIDAE.

ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

ARAT.

πάντα γὰρ οὔπω
ἐκ διὸς ἄνθρωποι γινώσκομεν, ἀλλ᾽ ἔτι πολλὰ
κέκρυπται, τῶν (αἴκε θέλῃ) καὶ ἐσαυτίκα δώσει.
ζεὺς ὁ γὰρ οὖν γενεῶν ἀνδρῶν ἀναφανδὸν ὀφέλλει.

ORPHEI.

ἕκτῃ δ᾽ ἐν γενεῇ καταπαύσετε κόσμον ἀοιδῆς.

HESIOD. β.

ἐλπὶς δ᾽ οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει.

ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη.

THEOGNIS.

ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὅμοιοι,
οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.
ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν.

ἄλλοι

ἄλλοι δ' οὔλυμπον δ' ἐκπρολιπόντες ἔβαν &c.

LINUS.

ἔλπεσθαι χρὴ πάντ', ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον,
ῥάδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν.

THEOCRIT.

ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.

HESIOD. α.

ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ
οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κα-
κὸς εἴη.

GREGOR. NAZIANZ.

ἓν μόνον ἀνθρώποισι καλὸν καὶ ἔμπεδόν ἐστιν
ἐλπίδες οὐράνιαι.

IDEM.

ἐν δ' ὀλιγοδρανίῃ κεῖται σθένος εὐσεβέεσσι.

HOM. ILIAD. ι.

ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός
κάτθαν' ὁμῶς ὅ, τ' ἀεργὸς ἀνήρ, ὅ, τε
πολλὰ ἐοργώς.

ILIAD. π.

ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ.

ILIAD. ψ.

οὐδὲ ἄρα πως τὴν
ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γενέσθαι.

THEOGNID.

ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ᾽ ἀρετὴ ἐστί.

ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γινώσκουσ᾽, ἀνδρὸς δ᾽ οἶνος ἔδειξε νόον.

HESIOD. β.

ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη.

PLVT ARCH.

ἐν δὲ διχοστασίῃ καὶ πάγκακος ἔμμορε τιμῆς.

ἐν γὰρ ἀμηχανίῃ καὶ κάρκινος ἔμμορε τιμᾶς.

HOMER. ODYSS. ο.

ἔξοχα δ᾽ ἐχθαίρησιν, ἤ κ᾽ ἔξοχα τ᾽ αὖ φιλέησιν.

SIBYLLA:

ἐξ ἰάδος χώρης ἥξει σοφὸν Ἰταλίησιν.

ODYSS. λ.

ἐξ ἀρχῆς Ἑλένης μὲν ἀπωλόμεθ᾽ εἵνεκα πολλοί

EPIGRAM. I.

ἓξ ὧραι μόχθοις ἱκανώταται, αἱ δὲ μετ᾽ αὐτὰς
γράμμασι δεικνύμεναι, ζῆθι λέγουσι βροτοῖς.

HYPERIDES.

ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.

HOMER. ODYSS. η.

ἐρξέμεν, αἰεὶ γάρ τε νεώτεροι ἀφραδέουσιν.

HESIOD. α:

ἔργον δ᾽ οὐδὲν ὄνειδος, ἀεργίη δέ τ᾽ ὄνειδος.

HESIO. β.

ἔργα τάδ' ἀνθρώποισι θεοὶ διετεκμήραντο.

PHOCYL.

ἐργάζευ, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύσης,
μήδ' ἄλλω παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης,
ἀλλ' ἀπὸ τῶν οἰκείων κιότων φάγοις ἀνύβριστος.

Q. CALAB. LIB. XII.

πολὺ λώϊον ἄνδρες
ἔργῳ ἐπίσχονται, ὁπότ' εἰσορόωσιν ἄνακτας.

SOLON.

ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

HERODOT.

ἐῤῥίπται δ' ὁ βόλος, τὸ δὲ, δίκτυον ἐκπεπέτασται.

PAVSAN.

ἔρδ' ὅπῃ τὸ χρεὼν, ἄτη δ' ἄλλοισι περὶ ἄλλων.

HOM. ILIAD. ο.

ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ.

HOM. ILIAD. ω.

ἐσθλὸν γὰρ Διὶ χεῖρας ἀνασχέμεν, αἴκ' ἐλεήσῃ.

ODYSS. ξ.

ἔσθιε δαιμόνιε ξείνων, καὶ τέρπεο τοῖς δὲ,
οἷα πάρεστι, θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ᾽ ἐάσει,
ὅττι κεν ᾧ θυμῷ ἐθέλει. δύναται γὰρ ἅπαντα.

ODYSS. ξ.

ἐσθὶ ἕκηλος ξεῖνε καθήμενος, ἢ ἄπιθ᾽ ἄλλη.
ἐσθλ᾽ ἀγορεύοντες, κακὰ δὲ φρεσὶ βυσσοδομεύον.

HESIOD. α.

ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
χρηίζειν ἀπεόντος.

THEOGNID.

ἐσθλὸς ἐὼν ἄλλον κρείττονος ἀντέτυχεν.
ἐσθλῶν μὲν γὰρ ἄπ᾽ ἐσθλὰ μαθήσεαι, ἢν δὲ κακοῖσι.
συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. (δεινὸν
ἐσθλὰ λέγειν αἰεὶ πάντας καλὸν. αἰσχρὰ δὲ
κἂν ὦσιν τούτων ἄξιοι ὧν λέγομεν.

Q. CALAB. LIB. III.

ἐσθλά τε καὶ τὰ χέρεια θεῶν ἐν γούνασι κεῖται.

LIB. XIIII.

ἐσθλῷ γὰρ φίλος ἐσθλὸς ἀνὴρ, χαλεπῷ δ᾽ ἀλεγεινός.

HOMER. ILIAD. χ.

ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστὴρ

ODYSS. υ.

ἐς Δία τερπικέραυνον, ὁ γὰρ εὖ οἶδεν ἅπαντα
μοῖραν

μοῖραν τ' ἀμμορίην τε καὶ θνητῶν ἀνθρώπων.

HESIOD. α.

ἐς τέλος ἐξελθοῦσα δίκη δ' ὑπὲρ ὕβριος ἴσχει.

NAVMACHI.

ἔστω σοι πόσις οὗτος, ὅν ἂν κρίνωσι τοκῆες.

THEOGNI.

ἐστὶ κακὸν ἢ βροτοῖσι κόρος, οὗ δ' οὔτι κακίον
πᾶσα γὰρ ἐκ τούτου Κύρνε πέλει κακότης.

PHOCYL.

ἔστι βίῳ πᾶν ἔργον, ἐπὰν μοχθεῖν ἐθέλησθα.

THEOCR. IDYL. γ. ET. λϛ.

ἐστὶ καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

IDYL. κε.

οὗτος ἄριστος
ἐστὶν ἀγροικείτας ὁ διδάσκαλος ἐστὶ πὰρ ὤνους.

SIBYLLA:

ἔσται κόσμος ἄκοσμος, ἀπολλυμένων ἀνθρώπων.

CALLIMACH.

ἑσπέριον φιλέουσιν, ἄταρ στυγέουσιν ἑῷον.

Q. CALABRI LIB. VIII.

μερόπων γὰρ πανόλβιος οὐδεὶς ἐτύχθη,
ἐς τέλος ἐξ ἀρχῆς, ἑτέρῳ δ' ἕτερ' ἀντιόωσι.

HOM. ILIAD. ι.

ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀΐδαο πύλῃσιν

ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσὶν, ἄλλο δὲ
εἴπῃ.

ODYSS. ξ.

ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς ἀΐδαο πύλῃσι
γίγνεται, ὅς πενίῃ εἴκων ἀπατήλια βάζει.

THEOC:

ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενῆ ἐξαπατῆσαι
κύρνε, φίλον δὲ φίλῳ ῥάδιον ἐξαπατᾶν.

# Z.

THEOGN.

Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως.

PAVSANIAS.

ζεὺς ἦν, ζεύς ἐστι, ζεὺς ἔσσεται, ὦ μεγάλε ζεῦ.

HOM. ODYSS. υ.

ζεῦ πάτερ, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις

ILIAD. γ.

ζεὺς, ὅς τ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

ILIAD. ρ.

ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.

ILIAD. υ.

ζεὺς δ᾽ ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε, ὅππως κεν ἐθέλῃσιν. ὁ γὰρ κάρτιστος ἁπάντων.

HOM. ODYSS. δ.

ἀτὰρ θεὸς ἄλλοτ᾽ ἐπ᾽ ἄλλῳ
ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ. δύναται γὰρ ἅπαντα

ODYSS. ε

ζεὺς ὑψιβρεμέτης, οὗ τε κράτος ἐστὶ μέγιστον.

ODYSS. ζ.

ζεὺς δ᾽ αὐτὸς νέμει ὄλβον ὀλύμπιος ἀνθρώποισιν,

ἐσθλοῖς

ἐσθλοῖς ἠδὲ κακοῖσιν ὅπως ἐθέλῃσιν ἑκάστῳ.

ODYSS. η.

ζεῦ πάτερ, αἴθ' ὅσα εἶπε τελευτήσειεν ἅπαντα.

ODYSS. ι.

ζεὺς δ' ἐπιτιμήτωρ ἱκετάων τε ξείνων τε
ξείνιος, ὃς ξείνοισιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ.

ODYSS. ν.

ζεὺς σφέας τίσαιτο ἱκετήσιος, ὅς τε καὶ ἄλλους
ἀνθρώπους ἐφορᾷ καὶ τίνυται, ὅστις ἁμάρτῃ.

ODYSS. υ.

ζεῦ πάτερ, οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος &c.

ODYSS. φ.

ζεῦ πάτερ, αἲ γὰρ τοῦτο τελευτήσειας ἐέλδωρ.

ODYSS. ω.

ζεῦ πάτερ, ἦ ῥα ἔτ' ἐστὲ θεοὶ κατὰ μακρὸν ὄλυμπον.

THEOGNIS.

ζεὺς ἄνδρ' ἐξολέσειεν ὀλύμπιος, ὃς τὸν ἑταῖρον
μαλθακὰ κωτίλλων ἐξαπατᾶν ἐθέλει.

APOLLON. LIB. III.

ζεὺς αὐτὸς τὰ ἕκαστ' ἐπιδέρκεται, οὐδέ μιν ἄνδρες
λήθομεν ἔμπεδον, οὔτε θεουδέες, οὔτε δίκαιοι.

ζῆλος τῶν ἀγαθῶν ἐσθλὸς, φαύλων δ' ὑπόεργος

NONNVS.

ζῆλος ἐμὲ ζαθέοιο τεοῦ καταδαίνυται οἴκου.

THEOGNIS.

Z

THEOGNIS

ζητεύμενον δ' ἕλκει φάρμακα φυομένῳ

SVIDAS PAG. 376.

ζωὸν ἀλιμάσοντες, ἀπὸ φθίμενον ποθέουσι.

HESIOD.

# H.

EPIGRAM. α.

Η βραδύπους βουλὴ, μέγ' ἀμείνον ἡ δὲ ταχεῖα
αἰὲν ἐφελκομένην τὴν μετάνοιαν ἔχει.

ILIAD. α.

ἤ ἔπει ἤ ἔργῳ τὸ δὲ μοικρήηνον ἐέλδωρ.

HESIOD. α.

ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.

THEOGNIS.

ἡ δ' ἀρετὴ τὸ δ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ σοφῷ.

IDEM.

ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν.
αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

HOM. ILIAD. μ. ET ODYSS. λ.

ἠέλιος θ' ὃς πάντ' ἐφορᾷς, καὶ πάντ' ἐπακούεις.

ODYSS. ξ.

οἶνος γὰρ ἀνώγει
ἠλεός ὅς τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι,
καί θ' ἁπαλὸν γελάσαι καί τ' ὀρχήσασθαι ἀνῆκεν.
καί τι ἔπος προέηκεν ὅπερ τ' ἄῤῥητον ἄμεινον.

ATHENEVS. LIB. X.

Ἦλις καὶ μεθύει καὶ ψεύδεται, οἷος ἑκάστου
οἶκος, τοιήδε καὶ ξυνάπασα πόλις.

HOM:

## H

HOM. ILIAD. I.

ἦ μοῦνοι φιλέουσ' ἀλόχους μερόπων ἀνθρώπων
ἀτρεΐδαι; ἐπεὶ ὅστις ἀγαθὸς καὶ ἐχέφρων
τὴν αὐτοῦ φιλέει καὶ κήδεται, ὡς καὶ ἐ-
γὼ τήν.

ODYSS. ρ.

ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα ζεὺς
ἀνέρος, εὖτ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕ-
λῃσιν.

MIMNERMUS.

ἡμεῖς δ' οἷά τε φύλλα φύει πολυάνθεμος
ὥρη ἦρος.

EPIGRAMM.

ἡ νέμεσις προλέγει τῷ πήχει τῷ τε χαλινῷ.
μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

PYTHAG.

ἢν δ' ἀπολείψας σῶμα, ἐς αἰθέρ' ἐλεύθερον
ἔλθῃς,
ἔσσεαι ἀθάνατος θεὸς ἄμβροτος, οὐκέτι
θνητός.

PHOCYL.

ἢν σὺ καλῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσει.

Q. CALABRI LIB. XIIII.

ἢν δ' ἀγαθὸν φρονέῃς, ἀγαθῶν καὶ τεύχεαι
ἔργων.

ORACULUM.

ἢν ζεὺς,

ἦν ζεὺς, ἐστὶ τε νῦν ζεὺς, κ' ἔσσεται, ὦ μεγάλε ζεῦ

ORACVLVM.

ἥξει Δωριακὸς πόλεμος καὶ λοιμὸς ἅμ' αὐτῷ.

HOMER. ODYSS. ζ.

οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον
ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον.
ἀνὴρ ἠδὲ γυνή.

PHOCYL.

ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας

HOMER. ILIAD. α.

ἧς ὑπερόπλείῃσι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ

ILIAD. δ.

ἥ τ' ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα
οὐρανῷ ἐστήριξαι κάρη, καὶ ἐπὶ χθονὶ βαίνει

ILIAD. λ.

ἣ τόσα φάρμακα ᾔδη, ὅσα τρέφει εὐρεῖα χθών.

ILIAD. φ.

ἤτοι βέλτερον ἐστὶ κάτ' οὔρεα θῆρας ἐναίρειν
ἀγροτέρας τ' ἐλάφους, ἢ κρείσσοσιν ἶφι μάχεσθαι.

ODYSS. σ.

ἦ τάχα Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει.

PHOCYL.

ἡ φιλοχρημοσύνη μητὴρ κακότητος ἁπάσης.

*APOLLO. PYTHIVS.*

ἡ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δὲ οὐδέν

*EPIGRAM. α.*

ἡ χάρις ἀλλάξαι τὴν φύσιν οὐ δύναται.

*HESIOD. β.*

ἠὼς γὰρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν.
ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου.

## Θ.

ODYSS. ε.

οὐδέ μοι αὐτῇ

Θυμὸς ἐνὶ στήθεσσι σιδήρεος, ἀλλ' ἐλεήμων.

GREGOR. NAZIAN.

Θυμὲ βλέψον ἄνω, χθονίων δ' ἐπιλήθεο πάντων
μή δε σε νικήσῃ πρὸς κακότητα δέμας.

HOMER. ODYSS. δ.

Θάρσει, μηδέ τι πάγχυ ἐνὶ φρεσὶ δείδιθι λίην.

ODYSS. η

Θάρσει, θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων
ἔργοισι τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι.

ODYSS. ω.

Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.

APOLLON. LIB. II. ARG.

Θάρσει, ἐπεὶ δαίμων ἕτερον πλόον ἡγεμονεύσει

THEOGNIS.

Θεοῖς εὔχου, οἷς ἐστὶ μέγα κράτος, οὔτι ἄτερ θεῶν
γίγνεται ἀνθρώποις, οὔτ' ἀγαθ' οὔτε κακά.

HESIOD. β.

εὐθυμοσύνη γὰρ ἀρίστη
θνητοῖς, ἀνθρώποις, κακοθυμοσύνη δὲ κακίστη.

SIMONID.

Θνητῶν δ' ὄφρα τις ἄνθος ἔχει πολυήρατον ἥβης
κοῦφον ἔχων θυμὸν, πόλλ' ἀτέλεστα νοεῖ.

οὔτε γὰρ

οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν, οὐδὲ θανεῖσθαι

HOM. ILIAD. δ.

οὐ δὲ τοκεῦσι
θρέπτρα φίλοις ἀπέδοκε μινυθάδιος δέ οἱ αἰών

THEOCR. IDYLL. ε.

θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας, ὥς τυ φάγωντι.

THEOGNIS.

θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος:

# I.

EVENI.

Ἴδε, ὅση λύπη παῖς πατρὶ πάντα χρόνον.

HOMER. ODYSS. α.

ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι.
ἧς γαίης, θανέειν ἱμείρεται.

ILIAD. λ.

ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων.

NICAND. IN THERIAC.

ἵπποι γὰρ σφήκων γένεσις, ταῦροι δὲ μελισσῶν.

SVIDAS.

ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ' ἐπίβαλλε.

EPIGRAM. α.

ἵππευς ἱππεύειν ἔδαη, καὶ ἀοιδὸς ἀείδειν.

DIONYS.

ἴσην μοῖραν ἅπασιν ἐπ' ἀνδράσι θήκατο δαί-
μων.

Q. CALAB. LIB. XIII.

ἴσην δ' αὖ καὶ ἄνασσα καὶ δμωὶς φέρεν ἀ-
νάγκην.

HOMER.

ἴσκεν ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.

ILIAD. δ.

ἰσόθεος ἐγ' ἀνὴρ, ὅς ἤπια φάρμακα εἰδώς.

EX STIGEL.

ἴθι

ἴσθι μὲν ὢν ὅνος ὅντιν᾽ ὅνον ποίησεν ὁ δαίμων.

*HOMER. ODYSS. o.*

ἶσόν τοι κακὸν ἐσθ᾽, ὅς τ᾽ οὐκ ἐθέλοντα νέεσθαι.
ξεῖνον ἐποτρύνῃ καὶ ὅς ἐσσύμενον κατερύκῃ.

*HESIOD. ἀν.*

ἶσον δ᾽ ὅς ἱκέτην, ὅς τε ξεῖνον κακὸν ἔρξει.

*HOM. ILIAD. ι.*

σὺ δὲ μεγαλήτορα θυμὸν
ἴσχειν ἐν στήθεσσι, φιλοφροσύνη γὰρ ἀμείνων.
ληγέμεναι δ᾽ ἔριδος κακομηχάνου.

*ODYSS. ε.*

ἔστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν.
ἴσθι ὅνος, κλῆρος μὲν ὅνον τραχὺς ὅντιν᾽ ἔπραξεν.
ἐστὶν εὐφρονέων, ὅς τὰ παρόντα φιλεῖ.

# K.

PLUTARCH.

Καί γε γυνὴ φέρει ἄχθος ἐπεί κεν ἀνὴρ
ἐπιθείη

ILIAD. υ.

καὶ παῖδες παίδων τοί κεν μετόπισθε γένωνται

ERASM.

καὶ μέγα χαίρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ
μνήμων, ὅστις πολλὰ πάθοι καὶ πολλὰ ἐόργοι.

HESIOD. α.

καὶ κεραμεὺς κεραμεῖ κοτέει, καὶ τέκτονι τέκτων.
καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.

HOMER. ILIAD. γ.

καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν.

ODYSS. ζ.

καὶ τ' ἄλλῳ νεμεσῶ, ὅστις τοιαῦτά γε ῥέζοι.

PHOCYL.

καιρῷ λατρεύειν, μηδ' ἀντιπνέειν ἀνέμοισι.

THEOCR. IDYL. ϛ.

καὶ φεύγει φιλέοντα, καὶ οὐ φιλέοντα διώκει.

IDYL. κη.

καὶ τὸ ῥόδον καλὸν ἐστὶ, καὶ ὁ χρόνος αὐτὸ
μαραίνει.

καὶ τὸ ἴον καλὸν ἐστὶν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ.
λευκὸν τὸ κρίνον ἐστὶ, μαραίνεται ἁνίκα πίπτει.

ἃ δὲ

ἃ δὲ χιὼν λευκὰ, καὶ τάκεται ἀνίκα παχθῇ.
καὶ κάλλος καλόν ἐστι τὸ παιδικὸν, ἀλλ' ὀλίγον ζῇ.

MVSAEI.

καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονες εἰσὶ γυναῖκες.

RHIANI.

καὶ τε ἐὼν ὀλίγος μνᾶται εὐπήχυν Ἀθήναν.

NICARCHI:

κάλλος ἄνευ χαρίτων τέρπει μόνον, οὐ κατέχει δὲ,
ὡς ἄτερ ἀγκίστρου νηχόμενον δέλεαρ.

THEOGN.

κάλλιστον τὸ δικαιότατον, λῷστον δ' ὑγιαίνειν,
πρᾶγμα δὲ τερπνότατον, οὗ τις ἐρᾷ τὸ τυχεῖν.
ἥδιστον δὲ τυχεῖν, ὧν τις ἕκαστος ἐρᾷ.

PHOCYL.

κάλλος δυσεύρητον ἔφυ παίδων τοκέεσσι.

HOM. ILIAD. Φ.

κάτθανε καὶ πάτροκλος, ὅπερ σεο πολλὸν ἀμείνων.

LVCIANI.

κάτθαν' ὁμῶς ὅτ' ἀεργὸς ἀνὴρ, ὅτε πολλὰ ἐοργώς.

NAVMACHII.

κεδνὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα λῦθοι.

HOMER. ODYSS. χ.

κείσομαι, ὡς οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων.

HOMERVS DE SESE.

κεῖσθαι δ' ἐγὼ τὴν μοι θεὸς ὤπασε γινομένῳ περ
τλήσομαι ἀκράαντον, φέρων τετληότι θυμῷ.

THEOGNID.

κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν.

PLVTARCH. ET DEMOST.

κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε.

PHOCYL.

κοινὰ πάθη πάντων. ὁ βίος τροχὸς, ἄστατος ὄλβος.

HESIOD. β.

κουρότερος γὰρ ἀνὴρ, μεθ' ὁμήλικας ἐπλοίηται.

HOMER. ODYSS. π.

δεινὸν δὲ γένος βασιλήϊον ἐστὶ
κτείνειν, ἀλλὰ πρῶτα θεῶν εἰρώμεθα βουλάς.
εἰ δὲ κ' ἀποτρωπῶσι θεοὶ, παύσασθαι ἄνωγα.

HOMER. ILIAD. α.

κρείσσων γὰρ βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ,
εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψη, (τελέσσῃ.
ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα
ἐν στήθεσσιν ἑοῖσι.

THEOGNID.

κρείσσων

κρεῖσσων τοι σοφίη τῆς μεγάλης ἀρετῆς.

EPIMENID.

κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες
ἀργαί.

Q. CALAB. LIB. II.

κρύβδα δ' ἀνάλκιδες αἰὲν ἀγαυοτέρους λο-
χόωσι.

THEOGN.

κύρν' ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον
αἰεὶ
τολμᾷ δ' ἐν ἀγαθοῖς κείμενος, ἔν τε κακοῖς.
κύρνε θεὸν αἰδοῦ καὶ δείδιθι. τοῦτο γὰρ ἄνδρα.
εἴργει, μήθ' ἔρδειν μήτε λέγειν ἀσεβῆ.
κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος.

ILIAD. λ.

κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.

# Λ.

PHOCYL.

Λάμβανε καὶ βουλὴν πὰρ οἰκέτου εὐφρονέοντος.

λαός τοι καὶ ὕδωρ καὶ πῦρ ἀκατάσχετα πάντα.

λαῷ μὴ πίστευε, πολύτροπός ἐστιν ὅμιλος.

λατρεύεις δ' ἀλόχῳ, λυγρῆς χάριν εἵνεκα (φέρνης.

HOM ILIAD ι.

αὐτί νυ πολλῶν

λαῶν ἐστὶν ἀνὴρ, ὅν τε ζεὺς κῆρι φιλήσει.

ILIAD. ρ.

λαοῖς, ἐκ γὰρ διός τιμὴ καὶ κῦδος ὀπηδεῖ.

ODYSS. μ.

λιμῷ δ' οἴκτιστον θανέειν, καὶ πότμον ἐπισπεῖν.

APOLLO. LIB. IIII.

λίην γὰρ δύσζυλοι ἑοῖς ἐπὶ παισὶ τοκῆες.

HESIO. α.

λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.

EPIGRAM: ϐ.

λυσιμελοῦς βάκχου καὶ λυσιμελοῦς ἀφροδίτης

γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.

HOM. ILIAD. ω.

λώβη γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι.

ANTIPATRI.

λαΐτερος κύκνου μικρὸς θρόος, ἤε κολοιῶν

κρωγμὸς, ἐν εἰαριναῖς κιδνάμενος νεφέλαις

HOM.

# M.

HOM. ODYSS. ψ.

Μαῖα φίλη, μάργην σε θεοὶ θέσαν, οἵ τε
δύνανται.
ἄφρονα ποιῆσαι καὶ ἐπίφρονά περ μάλ' ἐόντα,
καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησαν.

EX HESIOD. CLEMENS
LIB. V. STRO.

μάντις δ' οὐδείς ἐστιν ἐπιχθονίων ἀνθρώπων,
ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο.

HESIOD. β.

μέτρα φυλάσσεσθαι. καιρὸς δ' ἐπὶ πᾶσιν
ἄριστος.

PHOCYL.

μέτρῳ μὲν φαγέειν καὶ πίνειν μυθολογεῖν τε.

HOM: ILIAD. χ.

μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.

ILIAD. ψ.

μῆτι τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι.

ODYSS. ξ.

μή τε τί μοι ψεύδεσσι χαρίζεο, μήτε τι θέλγε.
οὐ γὰρ τοὔνεκ' ἐγώ σ' αἰδέσσομαι οὐδὲ φιλήσω.

HESIOD.

μὴ κακὸ

μὴ κακὰ κερδαίνειν, κακὰ κέρδεα ἶσα ἄτῃσιν.

HESIO. β.

μήδ' ἀναβάλλεσθαι ἐς τ' αὔριον ἐς τ' ἔννηφιν.
μήδε κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον.
μὴ δὲ πολύξεινον, μήδ' ἄξεινον, καλέεσθαι·
μὴ δὲ κακῶν ἕταρον, μήδ' ἐσθλῶν νεικεστῆρα.
μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
μὴ δὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι·
ἐκ κοινοῦ πλείστη τε χάρις, δαπάνη τ' ὀλιγίστη.
μηδέποτ' ἐξ ἠοῦς Διὶ λείβειν χερσὶν ἀνίπτοις.

THEOG.

μηδένα τῶν δ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν.
μὴ δὲν ἄγαν σπεύδειν, καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.
μήτε κακοῖσι νόσων λύπει φρένα, μήτ' ἀγαθοῖσι
τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.
μηδὲν ἄγαν χαλεποῖσιν ἄσω φρένα, μήδ' ἀγαθοῖσι
χαῖρ', ἐπεὶ ἐσ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.
μήποτ' ἐπαινέσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς.
μὴ μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ.
μήποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα.
μήτε θεοὺς ἐπίορκον ἐπόμνυθι, οὐ γὰρ ἀνεκτὸν
ἀθανάτους

ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

THEOGN:

μήποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπολέσσῃ.
πειθόμενος χαλεπῇ κήρνε διαβολίῃ.

PYTHAG.

μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς.
μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν,
πῇ παρέβην, τί δ' ἔρεξα, τί μοι δέον οὐκ ἐτελέσθη;

PHOCYL.

μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν,
ἀρκεῖσθαι παρεοῦσι καὶ ἀλλοτρίων ἀπέχεσθαι.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
μηδέ ποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς.
μήτε κακοῖς ἄχθου, μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
μὴ κακὸν εὖ ἔρξῃς, σπείρειν ἴσον ἔσ' ἐνὶ πόντῳ.
μὴ μείνῃς ἄγαμος, μή πως νώνυμος ὄληαι.

THEOGR. IDYL. ι.

μὴ 'πιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.

IDYLL. λϛ.

μὴ καυχῶ τάχα γάρ σε παρέρχεται ὡς ὄναρ ἥβη.

SIBYLLAE.

μὴ κινεῖν καμαρίναν, ἀκίνητος γὰρ ἀμείνων.

CLEANTHIS.

μὴ πρὸς δόξαν ὅρα, ἐθέλων σοφὸς αἶψα γενέσθαι
μηδὲ φοβοῦ πολλῶν ἄκριτον καὶ ἀναιδέα δόξαν
οὐ γὰρ πλῆθος ἔχει συνετὴν κρίσιν οὔτε δικαίαν,
οὔτε καλὴν ὀλίγοις δὲ παρ' ἀνδράσι τοῦτο κεν εὕρῃς.

PALLADAE.

μήποτε δουλεύσασα γυνὴ δέσποινα γένοιτο.

NAVMACHII.

μήτε γραιῶν ποτε σοῖσι κακὴν δέξαιο μελάθροις
πολλῶν γρῆες ἔπερσαν εὔκτιτα δώματα φώτων.

NICEPHO.

μήδε κάτω νεύσῃς εἰς τὸν μελαναυγέα κόσμον
ᾧ βυθὸς αἰὲν ἄπιστος ὑπέστρωταί τε καὶ ἅδης
ἀμφικνεφὴς, ῥυπόων, εἰδωλοχαρὴς, ἀνόητος.

DEMOSTE.

μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν, καὶ πάντα κατορθοῦν.

PAVSAN. LIB. VII.

μήθ' ἱκέτας ἀδικεῖν, ἱκέται ἱεροί τε καὶ ἁγνοί.

LAERTII.

μήποτε λυπήσῃ σε τὸ μὴ σε τυχεῖν τινος, ἀλλὰ
τέρπεο πᾶσιν ὁμῶς, οἷσι δίδωσι θεός.

EPIGRAM.

μήτ' ἀμετρόντι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

ODYSS. α.

μήτηρ μέν τ' ἐμέ φησι τοῦ ἔμμεναι αὐτὰρ ἔγωγε
οὐκ οἶδ' οὐ γάρ τοι τις ἑὸν γόνον αὐτὸς ἔγνω.

PLATO IN. HIPP.

μνῆμα τόδ' Ἱππάρχου, μὴ φίλον ἐξαπάτα.
μνῆμα τόδ' Ἱππάρχου, στεῖχε δίκαια φρονῶν.

HOMERI ILIAD. ζ.

μοῖραν δ' οὔ τινά φημι πεφυγμένον ἔμμεναι
ἀνδρῶν.
οὐ κακὸν οὐδὲ μὲν ἐσθλὸν, ἐπὴν τὰ πρῶτα γένηται.

ODYSS. ω.

μοῖρ' ὀλοὴ, τὴν οὔτις ἀλεύεται ὅσκε γένηται.

SOLON.

μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει, ἠδὲ καὶ ἐσθλὸν,
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.

PHOCYL.

μοῖραν πᾶσι νέμειν, ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.

HOM. ODYSS. α. ET φ.

μολπή τ' ὀρχηστύς τε. τὰ γάρ τ' ἀναθήματα δαιτός.

BIONIS.

μορφὰ θηλυτέρῃσι πέλει καλὸν ἀνέρι δ' ἀλ-
(κά

HESIOD. β.

μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.

EVSEB. LIB. 9.

μουσῶοι

μοῦνοι χαλδαῖοι σοφίαν λάχον, ἠδ' ἄρ' ἑ-
βραῖοι
αὐτογένεθλον ἄνακτα σεβαζόμενοι θεὸν
ἁγνῶς.

ARATI.

μόχθος μὲν τ' ὀλίγος, τὸ δὲ μύριον αὐτίκ'
ὄνειαρ.
γίνετ' ἐπιφροσύνης αἰεὶ πεφυλαγμένῳ
ἀνδρί.

HOMER. ODYSS. ι.

μύθων τε ῥητῆρ' ἔμμεναι, πρηκτῆρά τε ἔργων.

EPIGRAM:

# N.

ILIAD. υ.

Νεικεῖν ἀλλήλοισιν ἐνάντιον ὥστε γυναῖκας.

EPIGRAM. LIB. I.

νεκροῦ σῶμα λέοντος ἐφυβρίζουσι λαγωοί

HOMER. ODYSS. δ.

νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.

ODYSS. φ.

νήπιοι ἀγροιῶται ἐφημέρια φρονέοντες.

HESIOD. α.

νήπιοι, οὐδ' ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

HESIOD.

νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν, ἀνέτοιμα διώκει

ARISTOT.

νήπιος, ὃς πατέρα κτείνας, παῖδας καταλείπει

ΑΝΩΝ:

νόσφι φίλης γαμετῆς οὐ βίος ἐστὶ βίος.

THEOG:

νήπιος, ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσι,
τὸν δ' αὐτοῦ ἴδιον οὐδὲν ἐπιστρέφεται.

HOM. ODYSS. ι.

νοῦσον γ' οὔπως ἐστὶ Διὸς μεγάλου ἀλέασθαι.

HESIOD. α.

νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι.
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.

THEOGNIS.

νοῦς ἀγαθὸς καὶ γλῶσσα, τά τ' ἐν παύροισι πέφυκεν.
ἀνδράσιν οἳ τούτων ἀμφοτέρων ταμίαι.

HOM. ODYSS. υ.

νύκτας δ' ὕπνος ἔχησιν, ὁ γάρ τ' ἐπέλησεν ἅπαντας
ἐσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἂρ βλέφαρ' ἀμφικαλύψῃ.

HESIOD. α.

νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος, οὐδέ τι νύκτωρ
φθειρόμενοι, χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας.

PLVTARCH. IN TIMOLEONTE.

νῦν ἄμμες, πρόσθ' ἄλλοι, ἐθάλλεον, αὐτίκα δ' ἄλλοι
ὧν ἄμμες, γενεαὶ οὐκέτ' ἐποψόμεθα

## Ξ.

HOMER. ODYSS. ζ.

ξεῖνοί τε πτωχοί τε Διός πρὸς εἰσὶν ἅπαντες.

ODYSS. η

ξεῖν᾽ οὔ μοι τοιοῦτον ἐνὶ στήθεσσι φίλον κῆρ
μαψιδίως κεχολῶσθαι. ἀμείνω δ᾽ αἴσιμα πάντα.

ODYSS. ξ.

ξεῖν᾽ οὔ μοι θέμις ἐστ᾽ οὐδ᾽ εἰ κακίων σέθεν ἔλθοι
ξεῖνον ἀτιμῆσαι. πρὸς γὰρ διός ἅπαντες.
ξεῖνοί τε πτωχοί τε.

Διὸς δ᾽ ὀπίζετο μῆνιν
ξεινίου, ὅς τε μάλιστα νεμεσσᾶται κακὰ ἔργα.

PANYASIS.

ξεῖν᾽ ἄγε δὴ καὶ τοῦτ᾽, ἀρετή νύ τίς ἐστι καὶ αὐτή.
ἶσον τ᾽ ὅς τ᾽ ἐν δαιτὶ καὶ ἐν πολέμῳ θοὸς ἀνήρ.

HOM. ILIAD. σ.

ξυνὸς ἐνυάλιος καί τε κτανέοντα κατέκτα.

APOLLON. LIB. 3. ARGON:

ξυνὴ γὰρ χρέιω, ξυνοὶ δέ τε μῦθοι ἔασι πᾶσιν
ὁμῶς.

# O.

HOMER. ODYSS. η.

τὰ μὲν φύει, ἄλλα δ' πέσσει,
ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ.
αὐτὰρ ἐπεὶ σταφυλῇ σταφυλή, σῦκον δ' ἐπὶ σύκῳ.

GREGOR. NAZIAN.

ὄλβιος ὅστις ἔρημον ἔχει βίον, οὐδ' ἐπίμικτον
τοῖς χαμαὶ ἐρχομένοις, ἀλλ' ἐθέωσε νόον.

SOLON.

ὄλβον μοὶ πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων.
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν.

THEOCR. εἰδυλ. ιζ.

τί δ' κάλλιον ἀνδρὶ κεν εἴη
ὀλβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;

IDYLL: λα.

ὄλβιοι ἐσπάζοισθε, καὶ ὄλβιοι ἆψ ἵκοισθε

EX STOBÆO.

ὄμμα δίκης καθορᾷ πάντα τὰ γιγνόμενα.

HESIOD. α.

ὅντε διὰ βροτοὶ ἄνδρες ὁμῶς ἄφατοί τε φατοί τε.
ῥητοί τ' ἄῤῥητοί τε, διὸς μεγάλοιο ἕκητι.

EPIGRAM:

EPIGRAM:

ὁ πόνος ἐνδελεχὴς πράγματα πάντα τελεῖ.

HOM. ILIAD. υ.

ὁπποῖον κ' εἴπῃσθα ἔπος, τοῖον κ' ἐπακούσαις.

PHOCYL.

ὅπλον τοι λόγος ἀνδρὶ τομώτερον ἐστὶ σιδήρου.

THEOGN.

ὀρφνὴ γὰρ τέταται, πρό δε τοῦ μέλλοντος ἔσεσθαι.
οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

THEOGN.

ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι.
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.

THEOGN.

ὅς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονεῖ δ' ἕτερα.

ODYSS. β.

ὃς δὴ γήραϊ κυφὸς ἔην, καὶ μυρία ᾔδη.

GREGOR. NAZIAN.

ὃς πίει φιλότητα χοὸς, Χριστοῖο λέλασται.

HOMER. ILIAD. α.

ὃς ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.
ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ.

ODYSS. ο.

μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνὴρ
ὅστις δὴ μάλα πολλὰ πάθῃ καὶ πόλλ' ἐπαληθῇ.

ILIAD. ε.

ὃς τόσον αὐδήσασκ' ὅσον ἄλλοι πεντήκοντα.

HESIO. α.

ὃς δ' ἐπ' ἐόντι φέρει, ὃ δ' ἀλύξεται αἴθοπα
λιμόν,

ὃς δὲ γυναικὶ πέποιθ' ὅγε φιλήτῃσι.

THEOGNIS.

ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι
κεῖνος

τῆς αὐτοῦ γλώσσης καρτερὸς οὔτε νόου, &c.

THEOCR. IDYLL. δ.

ὁσσίχον ἐστὶ τὸ τύμμα, καὶ ἡλίκον ἄνδρα δαμάσδει.

SIBYL.

ὃς καθορῶν ἅμα πάντας, ὑπ' οὐδενὸς αὐτὸς ὁρᾶται.

LVCILII.

ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει.

HEROD. PLVTARCH.

SVIDAS.

ὅσα ἕλομεν, λιπόμεθα, ὅσα οὐχ ἕλομεν, φερόμεθα.

HOM. ODYSS. δ.

ὅττι οἱ ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

THEOGN.

O

ὅττι καλὸν φίλον ἐστί, τὸ δ᾽ οὐ καλὸν οὐ φίλον ἐστί.

SIBYLL.

ὁ φθόνος οὐκ ἀγαθὸν πέλεται δειλοῖσι βροτοῖσι.

EPIGRAM:

ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

SVIDAS.

ὁ φθόνος ἀναίνοιτο, τεὸν δέ γε κύδος ἀέξοι.

# Π.

ORACVLVM:

παῖς Ἑβραῖος κέλεταί με, θεοῖς μακάρεσσιν
ἀνάσσων,
τὸν δὲ δόμον προλιπεῖν, καὶ αἴδην αὖθις ἱκέσθαι.
λοιπὸν ἄπιθι σιγῶν ἐκ βωμῶν ἡμετεράων.

XENOPHANES.

πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα

GREGOR. NAZIAN.

πάντα μόγος θνητοῖς τ' ἀνθάδε, πάντα γέλως

THEOGNID.

παντοῖαι κακότητες ἐν ἀνθρώποισι ἔασι.

IDEM.

παντοῖα θνητοῖσιν ἐπέρχοντ', ἀλλ' ἐπιτολμᾶν
χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν ἔχειν.

PHOCYL.

πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλε-
γειναί.

## Euenus, Parius & Theognis.

πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

HOM. ILIAD. α.

πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ' ἀ-
νάσσειν.

ILIAD. ν.

πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος,
μολπῆς

μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο.

ODYSS. μ.

πάντες μὲν στυγεροὶ θάνατοι δειλοῖσι βροτοῖσι
λιμῷ δ᾽ οἴκτιστον θανέειν καὶ πότμον ἐπισπεῖν.

HESIOD. α.

πάντα ἰδὼν Διὸς ὀφθαλμὸς, καὶ πάντα νοήσας.

SIBYLL.

πάντα νοῶν, καὶ πάντα βλέπων, καὶ πάντα ἀκούων.

THEOC. εἰδυλλ. ιε.

πάντα γυναῖκες ἴσαντι, καὶ ὡς ζεὺς ἠγάγαθ᾽ ἥρην.

TIMON.

πάντων μὲν πρώτιστα κακῶν ἐπιθυμίη ἐστί.

SOLON.

πάντη δ᾽ ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισι

EPICVRVS.

πάντα γέλως, καὶ πάντα κόνις, καὶ πάντα τὸ μηδέν.

HOM. ILIAD. ξ.

πάρφασις, ἥτ᾽ ἔκλεψε νόον πύκα περ φρονεόντων.

ILIAD. ο.

παρειπών. ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.

ILIAD. χ.

παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιιν.

ODYSS. θ.

πᾶσι γὰρ ἀνθρώποισιν ἐπιχθονίοισιν ἀοιδοί
    τιμῆς ἔμμοροι εἰσὶ καὶ αἰδοῦς, οὕνεκ' ἄρα
    σφέας.
οἴμας μοῦσ' ἐδίδαξε, φίλησε δὲ φῦλον ἀοιδῶν.

THEOGNIS.

πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν,
    οὔτ' ἔρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

IDEM.

πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρὸν

SOLON.

πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν οὐδέ τις οἶδεν
    ᾗ σχήσειν μέλλει χρήματος ἀρχομένου &c.

PHOCYL.

πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.

THEOCR. IDYL. κε.

καὶ γὰρ ἐν ὕπνοις.
πᾶσα κύων ἄρτους μαντεύεται, ἰχθύα κ' ἠγών.

ARATVS.

μεσταὶ δὲ διὸς πᾶσαι μὲν ἀγυιαί,
πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ, μεστὴ δὲ θάλασσα

καὶ

καὶ λιμώες. πάντη γὰρ δῖος κεχρήμεθα πάντες.
οὐ γὰρ καὶ γένος ἐσμέν. ὁ δ᾽ ἤπιος ἀνθρώποισιν.

PALLADÆ.

πᾶς τις ἀπαίδευτος φρονιμώτατός ἐστι σιωπῶν.
τὸν λόγον ἐγκρύπτων, ὡς πάθος αἰσχρότατον.

EPIGRAM.

πᾶς λόγος ἐστὶ μάταιος, ὁ μὴ τετελεσμένος ἔργῳ.

PALLAD.

πᾶσα γυνὴ χόλος ἐστίν. ἔχει δ᾽ ἀγαθὰς δύο ὥρας.
τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

HOMER ILIAD. ξ.

πατρὸς δ᾽ ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι.

OPPIAN. LIB. V.

πατρὶ γὰρ γηράσκοντι νέον σθένος υἷες εἰσί.

HOMER. ILIAD. γ.

παῦρα μὲν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος,
οὐδ᾽ ἀφαμαρτοεπὴς, εἰ καὶ γένει ὕστερος ἦεν.

ODYSS. β.

παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.

THEOGNID

THEOGNID.

παῦροι τοι πολλῶν πιστὸν ἔχουσι νόον.

IDEM.

παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.
παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους,
κείμενος ἐν μεγάλῃ θυμοῦ ἀμηχανίῃ.

## Hippothoi apud Stobæum.

παυρολόγοι πολιοί, τοῦ γήρως ἄνθεα θνητοῖς.

THEOGNIS.

παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ·
ὄλβιος, ὃς τούτων ἀμφοτέρον ἔλαχεν.

GALEN. LIB. 3. περὶ κράσεων.

πέτραν κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ.
καὶ πόνος ἐνδελεχὴς πράγματα πάντα τελεῖ.

PYTHAGOR.

πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

APOLLON. α.

πήματα γάρ θ' ἀΐδηλα θεοὶ θνητοῖσι νέμουσιν.

EPIGRAM.

πίνειν καὶ παίζειν, καὶ τὰ δίκαια φρονεῖν.

HESIO. α.

πῆμα κακὸς γείτων, ὅσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.
ἔμμορέ τοι τιμῆς, ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.

IBIDEM.

IBIDEM.

πίστις δ' ἄρα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.

THEOGNIS.

πίστει χρήματ' ὄλεσαν, ἀπιστίῃ δ' ἐσάωσα.

HOMER. ODYSS. ρ.

πλαγκτοσύνης δ' οὐκ ἐστὶ κακώτερον ἄλλο
βροτοῖσιν.

HESIOD. α.

πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.

IBIDEM.

πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.

THEOGNIS.

πλὴν πλούτου, παντὸς χρήματός ἐστι κόρος.

IDEM.

πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί,
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις.

SOLON.

πλοῦτον δ' ὃν μὲν δῶσι θεοὶ παραγίγνεται ἀνδρὶ
ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν.

PHOCYL.

πλούτου μὴ φείδου, μέμνησ' ὅτι θνητὸς ὑπάρχεις.

SOLON.

πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.

PHOCYL.

πνεῦμα γὰρ ἐστὶ θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών.

ODYSS. α.

πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω.

ODYSS. δ.

πολλὰ γὰρ ἄλγε' ἔχει πατρὸς παῖς οἰχομένοιο.

ODYSS. χ.

πολλὰ μὲν ἐν μεγάροισιν ἀτάσθαλα, πολλὰ δ' ἐπ' ἀγροῦ.

HESIOD. α.

πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ,
ὅστις ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.

PLUTARCH. EX PHOCYL.

πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν

THEOGNID.

πολλοὶ γὰρ κρητῆρι φίλοι γίγνονται ἑταῖροι

THEOCR.

πολλοὶ βουκένται, παῦροι δέ τε γῆς ἀροτῆρες

PSAL. 37.

πολλὰ δανείζεται, οὐδ' ἀποτίνει χρέεα φαῦλος

THEOGN.

πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον.

HESIOD. β.

HESIOD. β.

πολλὰ δ' ἀεργὸς ἀνὴρ κενεὴν ἐπὶ ἐλπίδα μίμνων
χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.

THEOGNIS.

πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι:

IDEM.

πολλοί τοι πόσιος καὶ βρώσιος εἰσὶν ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πράγματι παυρότεροι.

IDEM.

πολλοί τοι πλουτοῦσι κακοὶ ἀγαθοὶ δὲ πένονται.
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν, πλοῦτον ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί.
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

IDEM.

πολλὰ με καὶ συνιέντα παρέρχεται, ἀλλ' ὑπ' ἀνάγκης
σιγῶ. γινώσκων ἡμετέρην δύναμιν.

IDEM.

πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.

IDEM.

πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἄνδρας.

πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφρονέοντας.
γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

IDEM.

πολλοὶ πλοῦτον ἔχουσι ἀΐδριες, οἱ τὰ καλὰ
ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.

IDEM.

πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
κρύπτουσ' ἐνθέμενοι θυμὸν ἐφημέριον.
τούτων δ' ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.

IDEM.

πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

IDEM.

πολλὰ φέρειν εἴωθε μόγος θνητοῖσι βροτοῖσι
πταίσματα, τῆς γνώμης Κύρνε ταρασσομένης.

SOLON.

πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος·
κοὔτις λύσαιτ' ἂν ἤπια φάρμακα δούς.

Euenus Parius.

πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος ὡς ὁ παλαιός·
σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστιν ἐμοὶ δὲ τάδε.

THEOCR. IDYLL. ς.

ἦ γὰρ ἔρωτι.

πολλάκις ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.

PHOCYL. ET, ARISTOT.

πολλὰ μέσοισιν ἄριστα, μέσος θέλω ἐν πόλει εἶναι.

NAVMACHI.

πολλῶν χεῖρες ἔπερσαν ἐΰκτιτα δώματα φωτῶν.

Athenæus libro XI.

πολλὰ μεταξὺ πέλει κοτύλης καὶ χείλεος ἄκρου.

EX STOBEO.

πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατακαίριον εἶπεν.

GELLIVS. LIB. 2.

πολλάκι καὶ κηπωρὸς ἀνὴρ μάλα καίριον εἶπεν.

Simonides apud Plutarch.
& Suidam.

πολλὰ φαγὼν, καὶ πολλὰ πιὼν, καὶ πολλὰ
κακ' εἰπὼν
τῇ δε τάφῳ Ἔκιος γαστέρ' ἔθηκε ἑήν.

HESIOD.

ποιεῖται δειλός τι ἀνὴρ φίλον ἄλλοτε ἄλλον.

THEOGNIS.

πολύπου ὀργὴν ἴσχε πολυπλόκου, ὅς ποτὶ πέτρῃ

τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.

HIPPONIS.

πουλυμαθημοσύνης οὐδὲν κενεώτερον ἄλλο.

EPIGRAM.

πρίντε λαβεῖν τίουσι, ἄταρ συγέουσι λαβόντες.

ILIAD. χ.

πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων.

EPIGRAM: α.

πρᾶγμα μὲν ἐσθ' ὁ φίλος πάνυ δύσκολον, εἰσὶ δὲ πολλοί.

καὶ σχεδὸν οἱ πάντες, μέχρι προσηγορίας

LINVS.

πρωτίστη δὲ κακῶν πάντων ἐπιθυμία ἐστί.

THEOGNIS.

πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν

γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.

ὀρφνὴ γὰρ τέταται, πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι.

οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.

HOM. ODYSS. π.

πρῆξαι δ' ἀργαλέον ἐστὶ μετὰ πλεόνεσσιν ἐόντα ἄνδρα

H

ἄνδρα καὶ ἴφθιμον, ἐπείη πολὺ φέρτεροί εἰσιν.

IN SVIDA.

πρῶτα θεὸς, μετέπειτα λόγος, καὶ πνεῦμα σὺν αὐτοῖς.

LACTANT. LIB. 7.

πρωτίγονος γὰρ τοῦτο θεοῦ διέταξε πρόνοια.

TIRTÆVS.

πτωχεύειν, πάντων ἐστ' ἀνιηρότατον.

PHOCYL.

πτωχῷ δ' εὐθὺ δίδου, μήτ' αὔριον ἐλθέμεν εἴπῃς.

# P.

LINVS.

ῥάδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν.

HOMER. ODYSS. γ.

ῥεῖα θεός κ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαῶσαι.

HESIOD. δ.

ῥεῖα δ' ἀριγνώτου γόνου ἀνέρος ὧ τε Κρονίων
ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε.

HESIOD. α.

ῥεῖα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
ῥεῖα δ' ἀρίζηλον μινύθει, καὶ ἄδηλον ἀέξει,
ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει
ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.

THEOCR. εἰδυλ. ιζ.

ῥέξαντες καλὰ ἔργα, σοφῶν ἐκύρησαν ἀοιδῶν.

HOMER. ODYSS. π.

ῥηΐδιον δὲ θεοῖσι τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν
ἠμὲν κυδῆναι θνητὸν βροτὸν, ἠδὲ κακῶσαι.

HESIOD. β.

ῥηΐδιον γὰρ ἔπος εἰπεῖν, βόε δὸς καὶ ἄμαξαν,

ῥηΐδιον

P

ῥηΐδιον δ' ἀπανήνασθαι, πάρα δ' ἔργα βόεσσιν.

THEOGN.

ῥήδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν, ἢ κακοῦ ἐσθλόν.

SIBYLL.

ῥώμη μὲν ῥύμη ἔσεται καὶ Δῆλος ἄδηλος

## Σ.

HERODO. LIB. I.

σαυτὸν γινώσκων εὐδαίμων Κροῖσε περάσεις.

HESIOD. α.

σιγᾶν οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες,
οἱ δ᾽ ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

Phurnutus.

σίτου καὶ κελίθης, ὦ νήπιε, πλοῦτος ἄριστος.

HOMER.

σίτου καὶ οἴνοιο. τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.

EPIGRAM. α.

σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον ἢ μάθε παίζειν
τὴν σπουδὴν μεταθεὶς, ἢ φέρε τὰς ὀδύνας.

ILIAD. α.

σκηπτοῦχος βασιλεὺς ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.

ORACVLVM.

σμήνα μελισσάων τάχα τοι καὶ σφῆκες
ἔσονται.

HOMER. ILIAD. ε.

σοὶ γὰρ χρὴ τάδε πάντα μέλειν νύκτας τε καὶ ἦμαρ.

ILLAD. ψ.

σοὶ γὰρ θεοὶ τῶν δ᾽ ἀντὶ χάριν μενοεικέα δοῖεν.

ODYSS. ζ.

σοὶ γὰρ θεοὶ τόσα δοῖεν ὅσα φρεσὶ σῇσι μενοινᾷς.

ODYSS. λ.

σοὶ δ᾽

σοί δ' ἔνι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐσθλαί.

EVENVS.

σοὶ μὲν ταῦτα δοκοῦντ' ἐστὶν, ἐμοὶ δὲ τάδε.

PLVTARCH. IN CIMON.

στεῖχε δίκης ἄσσον, μάλα τοι κακὸν ἀνδράσιν ὕβρις.

PLATO.

στεῖχε δίκαια φρονῶν, μὴ φίλον ἐξαπάτα.

PHOCYL.

στέργε τεὴν ἄλοχον, τί γὰρ ἡδύτερον καὶ ἄρειον
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρι,
καὶ πόσις ᾗ ἀλόχῳ, μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος;

APOLLONI:

στέργετε τοὺς φιλέοντας ἵν' ἢν φιλέητε φιλεῖσθε.

HOMER. ILIAD. υ.

στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

ILIAD. ν.

συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν.

ILIAD. κ.

σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὁ τοῦ ἐνόησεν.

ὅπως κέρδος ἔῃ, μοῦνος δ' εἴπερ τε νοήσῃ.
ἀλλά τε οἱ βράσσων τε νόος, λεπτὴ δὲ μῆτις.

ODYSS. ε.

σὺν δ' εὖρός τε νότος τ' ἔπεσε ζέφυρός τε δυσαίης,
καὶ βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδων.

ODYSS. α.

σφῇσιν ἀτασθαλίῃσιν, ὑπὲρ μόρον, ἄλγε' ἔχουσι

IDYLL: ἰῶτα.

σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων.

HESIO. α.

σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες οὔτ' ἀνθρώπων.

ODYSS.

σχέτλιε, τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα

# T.

## Pollux libro 9.

Ταν ἀρετὰν καὶ τὰν σοφίαν νικᾷ τι χελῶναι.

THEOCRI. IDYL. κη

τὰν μορφὰν ἀγαθὸς, τὸν δὲ τρόπον οὐκ ἔθ' ὅμοιος.

PAVSAN. LIB. 4.

τῇ αὐταῖς τέχναις τὶς ἁλώσεται, αἷσπερ ὑπῆρξεν

## Theodor. libro x.

τέτλαθι μοιράων ἀμετάτροπα δῶρα θυμῷ.

HOM. ODYSS. υ.

τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

THEOC. εἰδυλλ. θ.

τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
ἴρηκες δ' ἴρηξιν. ἐμὶν δ' ἁ μῶσα καὶ ᾠδά.

## Ælianus libro 8.

τεύχων ὡς ἑτέρῳ τις, ἑῷ κακὸν ἥπατι τεύχει.

THEOGNID.

τερπνοὶ ὁμῶς καὶ καλὸν ἐπεὶ πλέον ὤφελεν εἶναι,
ἀλλ' ὀλιγοχρόνιον γίνεται, ὥσπερ ὄναρ.

HOMER. ODYSS. α.

τὴν γὰρ ἀοιδὴν μᾶλλον ἐπικλείουσ' ἄνθρωποι.
ἥτις ἀκουόντεσσι νεωτάτη ἀμφιπέληται.

HESIOD. α,

τὴν

τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἐστὶν ἑλέσθαι
ῥηϊδίως. ὀλίγη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.

IBIDEM.

τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι, μακρὸς δὲ καὶ ὄρθιος οἶμος
ἐπ' αὐτὴν,
καὶ τρηχὺς τὸ πρῶτον, ἐπὴν δ' εἰς ἄκρον ἵκηται.
ῥηιδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

EPIGRAM.

τῆς πολυπραγμοσύνης οὐδὲν χερειότερον ἄλλο.

PLVTARCH.

τίμων μισάνθρωπε ἐοικέω, ἀλλὰ πάρελθε
οἰμώζειν εἴπας πολλὰ πάρελθε μόνον &c.

PHOCYL.

τοῦ δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.

SOLON.

τίκτει τοι κόρος ὕβριν, ὅταν πολὺς ὄλβος
ἕπηται.

HOMER. ILIAD. β.

τιμὴ δ' ἐκ διός ἐστι διοτρεφέος βασιλῆος.

TIRTÆVS.

τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων, κουριδίης τ' ἀλόχου.

Q. CALAB. LIB. XIIII.

τίε δ' ἀμύμονας ἄνδρας, ὅσοις νόος ἔμπεδος ἐστὶν.

HOM. ILIAD. ω.

τλητὸν γὰρ μοῖρα θυμὸν θέσαν ἀνθρώποισιν.

ODYSS. σ.

τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων
οἷον ἐπ' ἦμαρ ἄγησι πατὴρ ἀνδρῶν τε θεῶν τε.

ODYSS. τ.

τοιοῦτοι πτωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασι.

THEOGN.

τοῖα δὲ καὶ μάγνητας ἀπώλεσιν ἔργα καὶ ὕβρις.

IDEM.

τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μή ποτε ὁμάρτει.

IDEM.

τολμᾶν χρὴ τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσι,
ῥηιδίως δὲ φέρειν ἀμφοτέρων τὸ λάχος.

THEODORIDES.

τόλμα καὶ εἰς ἀΐδαν καὶ ἐς οὐρανὸν ἄνδρα κομίζει.

EPIGRAM. α.

τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον, ἢν δὲ παρέλθῃ,
ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

ILIAD. ι.

οὐδέ τι σε χρὴ.

τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι.
καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν, ὅς κε με κήδῃ.

HESIOD. α.

τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι,
καὶ δόμεν ὅς κεν δῷ, καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.
τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι.
τὸν δὲ μάλιστα καλεῖν, ὅστις σέθεν ἐγγύθι ναίει.

THEOGNIS.

τὸν δ' ἀγαθὸν τολμᾶν χρή, τά τε καὶ τὰ φέρειν.

HOMER. ILIAD. α.

τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

ILIAD. ω.

τοῦ μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται.

ODYSS. δ.

τοῦτό νυ καὶ γέρας οἶον ὀϊζυροῖσι βροτοῖσι
κλαίειν, ὅς κε θάνῃσι βροτῶν καὶ πότμον ἐπίσπῃ,
κείρασθαί τε κόμην, βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν.

ODYSS. ο.

τοῦ γάρ τε ξεῖνος μιμνήσκεται ἤματα πάντα

ἀνδρὸς

ἀνδρὸς ξεινοδόκου, ὅσκεν φιλότητα παράσχῃ.

PLVTARCH.

τοὺς συνετοὺς δ' ἄν τις πείσειε τάχιστα, λέγων εὖ.

HOM. ILIAD. ε.

Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής.

ILIAD. ι.

στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί,
τῶν περ καὶ μείζων ἀρετὴ, τιμή τε, βίη τε, &c.

HOM. ODYSS. λ.

τῷ νῦν μή ποτε καὶ σὺ γυναικί περ ἤπιος εἶναι,
μήδ' οἱ μῦθον ἅπαντα πεφασκέμεν ὅς κ' εὖ εἰδῇς.
ἀλλὰ τὸ μὲν φάσθαι, τὸ δὲ κεκρυμμένον εἶναι.

ODYSS. χ.

τῶν δ' ἄλλων οὐ κῦδος, ἐπὴν οὗτός γε πέσῃσιν.

Ibidem.

τῷ καὶ ἀτασθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.

THEOGNIS.

τῷ δὲ καλῶς ποιεῦντι θεὸς περὶ πάντα τίθησι
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.

IDEM.

τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα.

τῶν γὰρ κακῶν ἄνεμοι ἀλλὰ φέρουσιν ἔπη.
τῶν ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

HESIO. α.

τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες ὅς κεν ἀεργός,
ζώῃ, κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν.
οἵ τε μελισσάων κάματον τρύχουσιν, ἀεργοί
ἔσθοντες.

HOM.

τῷ δ' ἕτερον μὲν ἔδωκε θεός, ἕτερον δ' ἀνένευσεν

# Y.

THEOGNIS.

ὕβρις καὶ μάγνητας ἀπώλεσε καὶ κολοφῶνα
καὶ σμύρνην.

SIBYL.

ὑστατίης γενῆς φῶτος κακοέργεες αἰνοί.

EPIGRAM:

ὕβρις ἔρωτας ἔλυσε, μάτην ὁ δὲ μῦθος
ἀλῆται,
ὕβρις ἐμὴν ἐρέθει μᾶλλον ἐρωμανίην.

HOMER.

Φ.

HOM. ILIAD. ε.

Φευγόντων δ᾽ οὔτ᾽ ἄρ κλέος ὄρνυται, οὔτε τις ἀλκή.

THEOC. IDYL. κα.

Φεῦγε κακὸν τὸ φίλαμα. τὰ χείλεα φάρμακον ἐντί.

PYTHAG.

Φείδεο τῆς ζωῆς, μὴ μὶν καταθυμοβορήσις.

THEOC. IDYLL. κζ.

Φθέγξομαι ὡς ἐθέλεις σὺ καὶ ὅπως τοι φίλον αὐτῷ.

GREGOR. NAZIAN.

Φθέγξομαι, ἅσσ᾽ ἐπέοικεν: ἃ δ᾽ οὐ θέμις οὐδὲ νοήσω.

IDEM.

Φίλτρῳ γάρ συνέδησε φύσις τοκέας τε γόνους τε,

μνησαμένη τοκέων τόδε φάρμακον ὥστε βαρείας.

κουφοτάτοισι πόθοισιν ἐλαφρίξουσιν ἀνίας.

IDYLL. λϛ.

Φῆς μοι πάντα δόμεν τάχα δ᾽ ὕστερον οὐ δ᾽ ἅλα δοίης.

HESIOD. β.

Φήμη γάρ τε κακὴ πέλεται. κούφη μὲν ἀεῖραι ῥεῖα

ῥεῖα μάλ᾽, ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ᾽ ἀποθέσθαι.
Φήμη δ᾽ οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοὶ
λαοὶ φημίξουσι. θεός νύ τις ἐστὶ καὶ αὐτή.

## Oppianus lib. 3. de Venat.

Φίλτρον ἐνὶ κραδίῃ στῆξεν θεὸς, οὐδ᾽ ἄρα μούνοις
ἀνθρώποις, ἀλλ᾽ κ᾽ αὐτοῖς θήρεσιν ὠμηστῇσι.

CLEMENS.

Φοιτᾷ δὲ βροτολοιγὸς ἔρις κενεὸν λελακυῖα

EX PINDARO.

Φῦλον ἐν ἀνθρώποισι ματαιότατον τόδε, ὅπερ
αἰσχύνει τ᾽ ἐπιχώρια παπταίνει δὲ τὰ πόρσω
ἔλπισι θηρεύων μεταμώνια αἰὲν ἀκράντοις.

THEOGNIS.

Φῦσαι καὶ θρέψαι ῥᾷον βροτὸν ἢ φρένας ἐσθλὰς
ἐνθέμεν, οὐδείς πω τοῦτό γ᾽ ἐπεφράσατο.

# X.

SOLON.

χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.

PHOCYL.

χεῖρα πεσόντι δίδου, σῶσον δ' ἀπερίστατον ἄνδρα.

HOMER. ODYSS. ω.

χεῖράς τ' αἰχμητὴν ἔμμεναι, καὶ ἐπίφρονα βουλήν.

PLVTARCH.

χρειὼ πάντ' ἐδίδαξε. τί δ' οὐ χρειώ κεν ἀνεύροι;

HOM. ODYSS. ο.

χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

HESIOD. α.

χρήματα δ' οὐχ ἁρπακτὰ, θεόσδοτα πολλὸν ἀμείνω.

HESIOD. β.

χρήματα δ' εἰν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,
μὴ σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται. σὺ δὲ τητᾷ.

χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.

THEOGN.

χρήματα τοί θνητοῖς γίγνεται ἀφροσύνη.

χρήματα δ' ὧ διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται.
καὶ καθαρῶς, αἰεὶ γὰρ μόνιμον πέλεθει.

χρὴ

χρὴ δῶρ' ἀθανάτων οἷα δίδωσιν ἔχειν.

χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα.
πρὸς τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

χρὴ μουσῶν θεράποντα καὶ ἄγγελον, εἴ τι περισσὸν εἰδείη, σοφίης μὴ φθονερὸν τελέθειν.
ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύειν, ἄλλα δὲ ποιεῖν,
τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος.

SOLON.

χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.

THEOC. IDYLL. 16.

χρήματα δὲ ζώοντες ἀμαλδύνουσι θανόντων.

SOLON.

χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει

LVCILIVS.

χρήματα κληρονόμοι ἥρπαζαν ἀσπασίως.

PYTHAG.

χρήματι δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.

PHOCYLL.

χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισι.

NAVMACHII.

χρυσός τοι κόνις ἐστὶ καὶ ἄργυρος, ἄλλα τε πολλά.

PHOCYLL.

χρυσὲ κακῶν ἀρχηγὲ, βιόφθορε, πάντα χαλέπτων,
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.

THEOCRI. IDYL. ιβ.

ἦ ῥά ποτ᾽ ἦσαν
χρύσειοι πάλαι ἄνδρες, ὅκ᾽ ἀντεφίλησ᾽ ὁ φιληθείς.

SIBYLL.

χρυσοῦ δ᾽ νῦν δολίοιο καὶ ἀργυρέου πόθος ἐστί.
οὐδὲν γὰρ τούτων θνητοὶ μεῖζον προέκριναν.

PHOCYLL.

χώρη δ᾽ οὔ τι βέβαιον ἔχει πέδον ἀνθρώποισιν.

# Ψ.

PHOCYLL.

ψεύδεα μὴ βάζειν τάδ' ἔτητυμα πάντ' ἀγορεύειν

ILIAD. ω.

ψευσταί τ' ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι.

HOMER. ODYSS. γ.

ψεῦδος δ' οὐκ ἐρέει, μάλα γὰρ πεπνυμένος
ἐστίν.

PHOCYLL.

ψεύδορκον στυγέει θεὸς ἄμβροτος, ὅστις ὀμόσσῃ.

HOM. ODYSS. λ.

ψυχὴ δ' ἠΰτ' ὄνειρος ἀποπταμένη πεπότηται.

PHOCYLL.

ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι,
πνεῦμα γὰρ εἰσὶ θεοῦ χρῆσις θνητοῖσι καὶ
εἰκών,
σῶμα γάρ τ' ἐκ γαίης ἔχομεν, καὶ πάντες ἐς αὐτὴν
λυόμενοι κόνις ἐσμέν, ἀὴρ δ' ἀνὰ πνεῦμα
δέδεκται.
ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.

DIONYSIUS.

ψυχῆς οὐκ ἀλέγοντες, ἵν' ἄσπετον ὄλβον
ἕλωνται.

*Antiochus, lib. 2. Epigram.*

Ψ

ψυχὴν μὲν γράψαι χαλεπὸν, μορφὴν δὲ
χαράξαι.
ῥᾴδιον.

ODYSS. IX.

ψυχὰς παρθέμενοι, κακὸν ἀλλοδαποῖσι φέ-
ροντες.

ORACVLVM.

# Ω.

ORACVLVM.

ὦ θνητοὶ, λίπεσθε θεὸν καὶ λώϊον ἔσαι.

SIMONIDES.

ὦ ξεῖν' ἄγγειλον λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

SIBYL.

ὦ ξύλον μακαριστὸν ἐν ᾧ θεὸς ἐξετανύσθη.

BASILII.

ὡς ἐθέλει τὸ φέρον σε φέρειν, φέρου· ἢν δ' ἀπειθήσεις
καὶ σαυτὸν βλάψεις, καὶ τὸ φέρον σε φέρει

ORACVLVM.

ὡς κυψελλίζον ζεύς ὀλεσείε γένος.

ODYSS. α.

ὡς λίην κεῖνος γε ἐοικότι κεῖται ὀλέθρῳ;

EMPEDOCL.

ὡς γὰρ ἕκαστος ἔχει κρᾶσιν μελέων πολυκάμπτων,
τῶς νόος ἀνθρώποισι παρίσταται.

GREGOR. NAZIA.

ὡς αἰεὶ κρυεροῖο παρεστηκότος θανάτοιο.
μνώεο, καὶ θανάτου ἥσσονος ἀντιάσεις.

HOM.

ὡς οὐκ ἐστὶ λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά.

PYTHAGOR.

ὧν ἂν μοίραν ἔχῃς πράως φέρε, μήδ' ἀγανάκτει.

PHOCYLL.

ὧν σοι ἔδωκε θεὸς, τούτων χρήζουσι παράσχου.

Lucianus lib. 1. Epigram.

ὠκεῖαι χάριτες γλυκερώτεραι. ἢν δὲ βραδύνῃ,
πᾶσα χάρις κενεή, μηδὲ λέγοιτο χάρις.

HOMER. ILIAD. δ.

ὦ γέρον, εἴθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν,
ὥς τοι γούναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη.

ILIAD. ε.

ὦ φίλοι ἀνέρες ἐστε, καὶ ἄλκιμον ἦτορ ἕλεσθε &c

ILIAD. η.

ὧδε δὲ μυθέομαι, ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔστω.

ILIAD. ι.

ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
μάστακ' ἐπεί κε λάβῃσι κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ.
ὣς καὶ ἐγὼ, πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον,
ἤματα δ' αἱματόεντα διέπρησσον πολεμίζων.

ILIAD. σ.

ὡς ἔρις ἔκ τε θεῶν, ἔκ τ' ἀνθρώπων ἀπόλοιτο.

ILIAD. χ.

ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,

ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισι.

ILIAD. ψ.

ὢ πόποι, ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισι
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἐνὶ πάμπαν,

ODYSS. α.

ὡς ἀπόλοιτο καὶ ἄλλος, ὅτις τοιαῦτά γε ῥέζοι.

ODYSS. γ.

ὦ φίλος, οὔ σε ἔολπα κακὸν καὶ ἄναλκιν ἔσεσθαι
εἰ δή τοι νέῳ ὧδε θεοὶ πομπῆες ἕπονται.

ODYSS. η.

ὥσπερ κύκλωπές τε καὶ ἄγρια φῦλα γιγάντων.

ODYSS. ι.

ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, οὐδὲ τοκήων
γίνεται, εἴπερ καί τις ἀπόπροθι πίονα οἶκον
γαίῃ ἐν ἀλλοδαπῇ ναίει ἀπάνευθε τοκήων.

ODYSS. κ.

ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠώς.

ODYSS. λ.

ὥρη μὲν πολέων μύθων, ὥρη δὲ καὶ ὕπνου.
ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός.

ODYSS. μ.

ὦ φίλοι, οὐ γάρ πώ τι κακῶν ἀδαήμονές εἰμεν.

ODYSS. ξ.

ὡς αἰεὶ

ὡς νῦν ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη.

ODYSS. ρ.

ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.

ODYSS. χ.

ὡς κακοεργίης εὐεργεσίη μέγ' ἀμείνων.

THEOGN.

ὡς μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος
ἄθλων, εἰς ἄδου δῶμα μέλαν κατέβη.

SOLON.

ὡ κακὰ πλεῖστα πόλει δυσνομία παρέχει
εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας.

THEOCR. IDYLL. κζ.

ὡς ἀγαθοῖς πολέες βούλοιντό γε πενθεροὶ εἶναι
ὡς δ' ὀλίγῳ τοι ἔοικε κακῷ μέγα νεῖκος ἀναιρεῖν.

IDYLL. λβ.

ὡς που καὶ βασιλεῦσιν ἐείδεται ἐν φρεσὶν ᾗσιν
αὐτοῖς κηδομένοισι σαώτερος ἔμμεναι οἶκος.
ὡς δ' ἐστὶν χαλεπὸν ἑτέρου νόον ἴδμεναι ἀνδρὸς

MVSÆI.

ὡς αἰεὶ τέχνη μέγ' ἀμείνων ἰσχύος ἐστίν.

HESIOD.

ὡς οὐκ ἔστι Διὸς κλέψαι νόον, οὐδὲ παρελθεῖν.

EMPEDOCLES.

ὡς γλυκὺ μὲν γλυκὺ μάρπτε, πικρὸν δ' ἐπὶ πικρὸν,
ὀξὺ δ' ἐπὶ ὀξὺ ἔβη, θερμὸν δ' ἐποχεύετο θερμῷ.

IDEM.

ὡς ὄφρα μέν τε βιῶσι (τὸ δὴ βίοτον καλέουσι)
τόφρα μὲν οὖν εἰσὶν καὶ σφι πάρα δεινὰ καὶ ἐσθλά.

TIMON.

ὥρα ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

OPPIANVS LIBRO. 3.

ὡς οὐδὲν λιμοῖο κακώτερον, οὐδὲ βαρείης
γαστέρος, ἣ κρατέει μὲν ἐν ἀνθρώποισιν ἀπηνής.

OPPIANVS

LIBRO. 3.

ὡς οὐδὲν μερόπεσσιν ἀμήχανον, οὔτ' ἐνὶ γαίῃ.
μητρὶ καμεῖν, οὐ κόλπον ἀν' εὐρώεντα θαλάσσης.

Libro Quinto.

ὡς οὔτ' ἠνορέης, οὔτ' εἴδεος ἔπλετ' ὄνειαρ
τόσσον,

τόσον, ὅσον περιπίδων. ἀλκὴ δ᾽ ἀνεμώ-
λιος ἄφρων.

*IOACHIMVS CAMERARIVS.*

ὠῶν λάμβαν᾽ ὅς᾽ ἐστὶ περιμήκεα, λευκὰ,
νεογνά.

# AI.

THEOC. IDYL. δ.

ἄι ἄι τῶ σκληρῶ μάλα δαίμονος, ὅς με
ἐλελόγχει.

IDEM IDYLL. β.

αἴ αἴ ἔρως ἀνίηρε, τί μευ μέλαν ἐκ χροὸς αἷμα
ἐμφὺς, ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας.

HESIOD.

αἰακίδαι πολέμῳ κεχαρηότες, ἠΰτε δαιτί.

HOM. ILIAD. ε.

αἰδομένων τ᾽ ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται.

ILIAD. η.

αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ᾽ ὑποδέχθαι.

ILIAD. ω.

αἰδὼς, ἥ τ᾽ ἄνδρας μέγα σίνεται, ἠδ᾽ ὀνίνησι.

ODYSS. γ.

αἰδὼς δ᾽ αὖ νέον ἄνδρα γεραίτερον ἐξερέεσθαι.

ODYSS. ε.

αἰδοῖος μέν τ᾽ ἐστὶ καὶ ἀθανάτοισι θεοῖσι
ἀνδρῶν ὅστις ἵκηται ἀλώμενος.

ODYSS. ρ.

αἰδὼς δ᾽ οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι.

αἰδῶ δ᾽ οὐκ ἀγαθὴν φήσ᾽ ἔμμεναι ἀνδρὶ
(προΐκτῃ.

HESIOD. α,

αἰδὼς

αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
αἰδὼς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι.

THEOGNIS.

αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναιδείη δὲ καὶ ὕβρις
νικήσασα δίκην, γῆν κατὰ πᾶσαν ἔχει.

HOMER.

αἰδεῖσθαι ξενίων κεχρημένον, ἢ δὲ δόμοιο.

EPIGRAM.

αἰὲν ἀληθεύειν, κρατέειν γλώσσης τε καὶ ὀργῆς,
εὔχεσθαι, μοχθεῖν, καὶ φθόνον οὐκ ἀλέγειν.

PLATO IN LYSIDE:

αἰεί τοι τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.

HOM. ILIAD. γ.

αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.

ILIAD. ζ.

αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.

ODYSS. ξ

ἣ γὰρ δμώων δίκη ἐστὶν
αἰεὶ δειδιότων, ὅτε ἐπικρατέωσιν ἄνακτες
οἱ νέοι.

HESIOD. β.

αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

SOLON.

αἰεὶ δ' οὔτε λέληθε διαμπερὲς, ὅστις ἀλιτρὸν
θυμὸν

θυμὸν ἔχει, πάντως δ᾽ ἐς τέλος ἐξεφάνη·
ἀλλ᾽ ὁ μὲν αὐτίκ᾽ ἔτισεν, ὁ δ᾽ ὕστερον, &c.

CALLIMACH.

αἰεὶ τοῖς μικροῖς μικρὰ διδοῦσι θεοί.

Q. CALAB. LIB. V.

αἰεὶ δ᾽ ἐν βουλῆσι γέρων πολυίδρις ἀμείνων.

AVGVSTVS. C. EX HOMERO:

αἴθ᾽ ὄφελον ἄγαμός τ᾽ ἔμμεναι, ἄγονός τ᾽
ἀπολέσθαι.

THEOCR. IN ERGAT:

αἴθε μοι ἦς ὅσα κροῖσον πόκα φαντὶ πεπᾶσθαι

EPIGRAM.

αἰθομένου δέ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι.

HOM. ODYSS. ε.

αἴ κε θεοί γ᾽ ἐθέλωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
οἵ μευ φέρτεροί εἰσι νοῆσαί τε κρῆναί τε

SVIDAS.

αἴ κε πάθοι τά κ᾽ ἔρεξε, δίκη δ᾽ ἰθεῖα γένοιτο.

HOMER. ILIAD. β.

αἰσχρόν τοι δηρόν τε μένειν, κενεόν τε νέεσθαι.

THEOGNIS.

αἰχμητὴς γὰρ ἀνὴρ γλῶττα καὶ ἄστεα σώοι.

PAVSANIAS.

αἰχμηταὶ καὶ νῶν καὶ πάρος αἰακίδαι.

HOMER.

*HOME. ODYSS. T, ET*
*HESIOD. α.*

αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκου-
σιν.

*THEOGNID.*

αἶψα γὰρ, ὅστε νόημα, παρέρχεται ἀγλαὸς
ἥβη.

*EPIGRAM: LIB. I.*

αἰὼν πάντα φέρει, δολιχὸς χρόνος οἶδεν ἀ-
μείβειν
οὔνομα καὶ μορφὴν καὶ γένος ἠδὲ τύχην.

# AY.

Plato in Protagora:

αὐτὰρ ἀνὴρ ἀγαθὸς ποτὲ μὲν κακὸς, ἄλλοτε δ᾽ ἐσθλός.

*IN SVIDA.*

αὐτάρκης ὁ πρέσβυς ἔχων ἅλα καὶ δύο κρίμνα.

*HOMER. ODYSS. ρ.*

αὐτὰρ ἐμοὶ τάδε πάντα καὶ ἀθανάτοισι μελήσει.

*HESIOD. α.*

αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ᾽ ἐνόησε.

*HOMER. ODYSS. τ.*

αὕτη τοι δίκη ἐστὶ θεῶν οἳ ὄλυμπον ἔχουσιν.

Mimnermus.

αὐτίκα τεθνάναι βέλτιον ἢ βίοτος.

*IN SVIDA.*

αὐτίκα καὶ φυτὰ δῆλα, ἃ μέλλει κάρπιμα ἔσεσθαι.

*SIBYLL.*

αὐτὸς δὴ θεός ἐσθ᾽ ὁ πλάσας τετραγράμματον ἀδάμ.

αὐτοφυὴς, ἀόρατος, ὁρῶν μόνος αὐτὸς ἅπαντα.

Athenæus libro. 4.

αὐτόματοι ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν.

HERODO. LIB. V.

αὐτὸς καὶ παῖδες, παίδων γε μὲν οὐκέτι παῖδες.

HOM. ODYSS. α.

αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο,

# EI.

HESIOD. α.

εἰ γὰρ κεν καὶ σμικρὸν ἐπὶ σμικρὸν καταθεῖο,
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ
τὸ γένοιτο.

ILIAD. α.

εἰ δέ κε μή δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι.

IBIDEM.

εἰ δ' οὕτω τοῦτ' ἐστίν, ἐμοὶ μέλλει φίλον εἶναι.

ODYSS. χ.

εἰδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά.

EPIGRAM. LIB. 2.

εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν.
καὶ τράγος εὐπώγων, εὔστολός ἐστι πλάτων.

HESIO. β.

εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.

HOM. ODYS. π.

εἰ δὲ κ' ἀποτρωπῶσι θεοί, παύσασθαι ἄνωγα.

HESIOD. α.

εἰ δὲ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα. πλούτῳ δ' ἀρετὴ καὶ κῦδος
ὀπηδεῖ.

THEOGNIS.

εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσῃ,

ἀφραίνων κακίω ἢ δυύαται κατέχειν.

Rhadamantus.

εἴκε πάθοι τά κ᾽ ἔρεξε, δίκη ἰθεῖα γένοιτο.

HOM. ILIAD. δ

εἰ τότε κοῦρος ἔα, νῦν αὖτε με γῆρας ἱκάνει.

HOMER. ILIAD. ψ. ET ODYSS. ξ.

εἴθ᾽ ὣς ἡβώοιμι, βίη τε μοι ἔμπεδος εἴη.

PYTHAGOR.

εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.

HESIOD. α.

εἶλε μέλας θάνατος ἢ καὶ ἐκπαγλούς περ ἐόντας.

ILIAD. α.

εἰ μάλα καρτερός ἐσσι θεὸς που σοὶ τό γ᾽ ἔδωκεν.

EPIGRAM:

εἰπέ τι παγχάλεπον πέλεται; τὸ γνῶναι ἑαυτόν.
εἰπέ τι ῥήϊδιον; μωμεῖσθαι πράγματα ἄλλων.

I. CLAII:

εἰ παντέσσι βροτοῖς τὰ δέοντα μέμηλε τελέσσαι
ἀνθήσει πάσαις εὐπραγίῃσι δόμος.

PALLADÆ.

εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου. εἰ δ᾽ ἀγανακτεῖς.

καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

EPIGRAMM. I.

εἴς τις ἅπαξ γήμας, πάλι δεύτερα λέκτρα
διώκει.
ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλεόν.

SIBYLL.

εἰκὼν ἐστ' ἄνθρωπος ἐμὴ, λόγον ὀρθὸν ἔχουσα.

ORPHEI.

εἰς δὲ λόγον θεῖον βλέψας, τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος, εὖ δ'
ἐπίβαινε.

PHOCYLL.

εἷς θεὸς ἐστὶ σοφὸς, δυνατός θ' ἅμα καὶ πο-
λύολβος.

GREGOR. NAZIAN:

εἷς θεὸς ἐν τρισσοῖσιν ἀνοιγόμενος φαέεσσι

HOM. ILIAD. μ.

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

*AVTOMEDON.*

εὐδαίμων πρῶτον μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων,
εἶτα δ' ὁ μὴ γήμας, τὸ τρίτον ὅστις ἄπαις.

Plutarch. in conuiu. 7 Sap.

εὐδαίμον πολίεθρον ἑνὸς κήρυκος ἀκοῦον.

THEOCR. IDYL. ιδ.

εὐγνώμων, φιλόμουσος, ἐρωτικός, εἰς ἄκρον ἁδύς.

*HESIOD.* α.

εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι.
αὐτῷ τῷ μέτρῳ, καὶ λώιον, αἴκε δύνηαι.

*THEOGNID.*

εὖ μὲν ἔχοντος ἐμοῦ πολλοὶ φίλοι ἢν δέ τι δεινὸν
ἐγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.

*THEOC.* εἰδυλλ. ι.

εὗρε θεὸς τὸν ἀλιτρόν. ἔχεις πάλαι ὧν ἐπεθύμεις.

εἰδυλλ. λγ.

εὐσεβέων παίδεσσι τὰ λώια, δυσσεβέων δ' οὔ.

*ORPHEVS.*

εὐσεβέεσιν ἀεὶ τὸ τέλος γλυκερώτερόν ἐστιν.

*THEOGNIS.*

εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας

οὐκέτι γιγνώσκουσ' οὐδὲ μὴν εὐσεβείας.

*EVSEBII.*

εὐτάκτων θνητῶν βιοτῇ θεοὶ ἵλαοί εἰσιν,
εὐσεβέων θ' ἁγίαις θυσίαις τιμαῖς τε δέχονται.

*HOMER. ODYSS. γ*

εὔχεσθαι. πάντες δὲ θεῶν χατέουσ' ἄνθρωποι.

# OI.

HOMER. ODYSS. ο.

Οἷά τε τοῖς ἀγαθοῖσι παραδρώωσι χέρηες.

ATHENÆVS

LIB. X.

οἷα τ᾽ ἀνὴρ ἔρξει, τοῖον τέλος αὐτὸν ἱκάνει.

THEOCR εἰδυλ. κδ

οἷα βλέπεις, ὁποῖα λαλέεις, ὡς ἄγρικα παίσδεις.

PALLAD.

οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον.

HOMER. ILIAD. ἰῶτα.

χόλος, ὅς τε καὶ ἄλλων
οἰδάνει ἐν στήθεσι νόον πύκα περ φρονεόντων.

ILIAD. ψ.

οἶδ᾽ οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι.
κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.

THEOGN.

οἱ δ᾽ ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

PORPHYRIVS:

οἶδα δ᾽ ἐγὼ ψάμμου τ᾽ ἀριθμὸν καὶ μέτρα θαλάσσης.

καὶ

καὶ κοῦφου ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω.

THEOGN.

οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

THEOG. IDYL. 13.

οἱ θνατοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες.

HOM. ILIAD. ζ.

οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν, &c.

HESIOD. α.

οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι.

HESIOD. β.

οἶκον μὲν πρώτιστα, γυναῖκά τε, βοῦν τ' ἀροτῆρα.

THEOGNIS.

οἱ μὲν γὰρ κακότητα, κατακρύψαντες ἔχουσι
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

HOM. ILIAD. α.

οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο.

ODYS. φ.

οἶνός σε τρώει μελιηδὴς, ὅς τε καὶ ἄλλους
βλάπτει, ὃς ἄν μιν χανδὸν ἕλῃ, μηδ' αἴσιμα πίνῃ.

THEOGN.

οἶνος πινόμενος πουλὺς κακὸς· ἢν δὲ τις αὐτὸν
πίνῃ ἐπιστάμενως, οὐ κακὸν, ἀλλ᾽ ἀγαθόν.

ERATOSTH.

οἶνος τοι πυρὶ ἴσον ἔχει μένος, εὖ τ᾽ ἂν ἐς ἄνδρα
ἔλθῃ.

## Panyasis.

οἶνος γὰρ πυρὶ ἴσον ἐπιχθονίοισιν ὄνειαρ.
ἐσθλὸν ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς
οἶνος μὲν θνητοῖσι θεῶν παρὰ δῶρον ἄριστον
πινόμενος κατὰ μέτρον, ὑπὲρ μέτρον δὲ
χερείων.

πάσας δ᾽ ἐκ κραδίας ἀνίας ἀνδρῶν ἀ-
λαπάζει.

THEOCR. IDYLL. λε.

οἶνος, ὦ φίλε παῖ, λέγεται ἀλαθέα.

## Empedocles.

οἶνος ἀπὸ φλοιοῦ πέλεται, σαπὲν ἐν ξύλῳ
ὕδωρ.

ATHENAEUS.

LIBRO. XI.

οἶνος ἀνώγει γέροντα, καὶ οὐκ ἐθέλοντα χο-
ρεύειν.

## ATHENÆVS.

### LIBRO. 2.

οἶνος τι χαρίεντι πέλει μέγας ἵππος ἀοιδῷ.

### EPIGRAM. α.

οἶνος καὶ τὰ λοετρά, καὶ ἡ περὶ κύπριν ἐρωή.
ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς ἀΐδην.

### PLVTARCH:

οἱ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ᾽ ἀροτήρων.

### HOM. ODYSS. ο.

οἶσθα γὰρ οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικὸς &cet.

### ODYSS. λ.

οἵ τε κατ᾽ αἶσχος ἔχευε καὶ ἐσσομένησιν ὀπίσσω.

### ODYSS. σ.

οἱ τ᾽ εὖ μὲν βάζουσι, κακῶς δ᾽ ὄπιθεν φρονέουσιν.

### ODYSS. φ.

οἱ τ᾽ αὐτῷ πρώτῳ κακὸν ἔυ ετο οἰνοβαρείων.

HESIOD. a.

οἷ τ᾽ αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ
τεύχων.

## Empedocles.

οἵων ἐξ ἐρίδων ἔκ τε στοναχῶν ἐγένεσθε
ἄνθρωποι θνητοὶ, καὶ σάρκινοι, οὐδὲν ἔοντες.

# ΟΥ.

ODYSS. ν. ET π.

οὐ γὰρ τοῖος ἐστὶν, οὐκ ἔσσεται οὔτε γένηται,
οἷος ἐκεῖνος ἔην βουλευέμεν ἠδὲ μάχεσθαι.

ILIAD. χ.

οὐ γὰρ ἐστὶ λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά.

ZOROASTRES.

οὐ γὰρ ἀληθείης φυτὸν ἐστὶν νῦν ἐπὶ γαίης.

HOMER. ILIAD. δ.

οὐ γὰρ ἐπὶ ψευδέσσι πατὴρ Ζεὺς ἔσσετ᾽ ἀρωγός.

ILIAD. η.

οὐ γάρ τις φροντὶς νεκύων κατατεθνηώτων.

ILIAD. ω.

οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

HOMER. ODYSS. γ.

οὐ γάρ τ᾽ αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.

ODYSS. ε.

οὐ γάρ τ᾽ ἀγνῶτές γε θεοὶ ἀλλήλοισι πέλονται.

ODYSS. θ.

οὐ γὰρ ἐγὼ δ᾽ ἔτι φημὶ κακώτερον ἄλλο θαλάσσης,
ἄνδρα τε συγχεῦαι, εἰ καὶ μάλα καρτερὸς εἴη.

ODYSS. ι.

οὐ γὰρ κύκλωπες Διὸς αἰγιόχου ἀλέγουσιν

οὐδὲ θεῶν

οὐδὲ θεῶν μακάρων, ἐπεὶ πολὺ φέρτεροί
εἰμέν.

ODYSS. π.

οὐ γάρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς.
οὐ γάρ πως ἂν θνητὸς ἀνὴρ τάδε μηχανόῳτο
ᾧ αὐτοῦ γε νόῳ, ὅτε μὴ θεὸς αὐτὸς ἐπελθὼν,
ῥηιδίως ἐθέλων θείη νέον ἠδὲ γέροντα

ODYSS. ρ.

οὐ γάρ τι πληγέων ἀδαήμων, οὐδὲ βολάων.
τολμήεις μοι θυμὸς, ἐπεὶ κακὰ πολλὰ πέ-
πονθα.

ODYSS. τ.

οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου, οὐδ᾽
ἀπὸ πέτρης.

HESIOD. β.

οὐ γὰρ ἐτωσιεργὸς ἀνὴρ πίμπλησι καλιήν,
οὐδ᾽ ἀναβαλλόμενος, μελέτη δέ τοι ἔργον
ὀφέλλει.

TYRTÆVS.

οὐ γάρ πως θάνατόν γε φυγεῖν εἱμαρμέ-
νον ἐστίν.
ἄνδρ᾽, οὐδ᾽ εἰ προγόνων ᾖ γένος ἀθανάτων.

PHOCYLL.

οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ᾽ ἀίδηλον ἁ-
πάντων.

CLEAN-

CLEANTHES.

οὐ γὰρ πλῆθος ἔχει συνετὴν κρίσιν οὔτε δί-
καιαν,
οὔτε καλήν. ὀλίγοις δὲ παρ' ἀνδράσι τοῦτο
κεν εὕροις.

Q. CALAB. LIB. VI.

οὐ γὰρ ἀνιδρωτί γε μετ' ἀνδράσι κῦδος ἀέξει.

LIBRO. 7.

οὐ γὰρ ἅμ' ἀνθρώποισι θεοὶ τελέουσιν ἅπαντα,
ἀλλ' ἐσθλῷ κακὸν ἄγχι παρίσταται ἔκ τι-
νος αἴσης.

LIBRO. 8.

οὐ γὰρ ὑπὲρ κῆράς τις ὑπ' ἄρεϊ δάμναται ἀνήρ.

LIBRO. 13.

οὐ γάρ τι ψυχῆς πέλει ἀνδράσι φίλτερον ἄλλο.

PROVERB.

οὐ δύναται κύκνῳ κόρυδος παραπλήσιον ᾄδειν.

ILIAD. α.

οὐ δέμας, οὐδὲ φυήν, οὔτ' ἂρ φρένας οὔτε τι ἔργα.

THEOGNIS.

οὐδείς πω ξεῖνον (πολυπαΐδη) ἐξαπατήσας
οὐδ' ἱκέτην θνητῶν, ἀθανάτους ἔλαθε.

SIMONID.

οὐδεὶς ἀνθρώπων ἐστὶν ἅπαντα σοφός.

THEOGN.

οὐδ᾽ εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ.

HOM. ILIAD. χ.

οὔτε λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν. ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,

ODYSS. σ.

οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.

HESIOD. α.

οὔτε πατὴρ παίδεσσιν ὁμοίιος, οὐδέ τι παῖδες
οὔτε ξεῖνος ξεινοδόκῳ, καὶ ἑταῖρος ἑταίρῳ.
οὔτε κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ &c.
οὔτε τις εὐόρκου χάρις ἔσσεται, οὔτε δικαίου, &c.

IDEM.

οὔτε τί γ᾽ ἐν οἴκῳ κατακείμενον ἀνέρα κήδει.

THEOGNIS.

οὔτε τῷ ἀνθρώπων παραγίγνεται ὅσσ᾽ ἐθέλῃσι. ἴσχει γὰρ χαλεπῆς πείρατ᾽ ἀμηχανίης.
οὐδεὶς ἀνθρώπων οὔτ᾽ ὄλβιος οὔτε πενιχρὸς οὔτε κακὸς, νόσφιν δαίμονος οὔτ᾽ ἀγαθός.
οὐδένα θησαυρὸν παισὶν καταθήσῃ ἀμείνω αἰδοῦς, ἥτ᾽ ἀγαθοῖς ἀνδράσι Κύρν᾽ ἕπεται.

οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.
οὐ δύναμαι φωνῇ λιγύρ᾽ ἀειδέμεν ὥσπερ ἀηδών.
οὐδεὶς ἀνθρώπων οὔτ᾽ ἔσεται οὔτε πέφυκεν
ὅστις πᾶσιν ἁδὼν δύσεται εἰς ἀΐδου.
οὐδεὶς δ᾽ ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.
οὐδεὶς γὰρ πάντ᾽ ἐστὶ πανόλβιος, ἀλλ᾽ ὁ μὲν ἐσθλὸς
τολμᾷ ἔχων τὸ κακὸν, κοὐκ ἐπίδηλος ὅμως.
δειλὸς δ᾽ οὔτ᾽ ἀγαθοῖσιν ἐπίσταται οὔτε κακοῖσιν.
θυμὸν ὁμῶς μίσγειν ἀθανάτων δὲ δόσεις
παντοῖαι θνητοῖσι ἐπέρχονται, ἀλλ᾽ ἐπιτολμᾶν
χρὴ δῶρ᾽ ἀθανάτων, οἷα διδοῦσιν ἔχειν.
οὐδὲν ἐς ἀγαθῆς γλυκερώτερον ἄλλο γυναικὸς
οὐδὲν ἐς ὀργῆς ἀδικώτερον, ἥ τ᾽ ἔχοντα
πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

PHOCYL.

οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον.
οὐδὲ γυνὴ κακὸν ἀνδρ᾽ ἀπαναίνεται ἀφνειὸν ὄντα.

SIMONIDES.

οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί.

EMPEDOCLES.

οὐδέ τι τοῦ παντὸς κενεὸν πέλει, οὐδὲ περισσόν.

HERODOTVS
LIBRO. 5.

οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

PLVTARCH. περὶ τοῦ μὴ
δεῖν δανείζεσθαι.

οὐ δύναμαι τὴν αἶγα φέρειν, ἐπιτίθετε μοι βοῦν.

HOMER. ILIAD. β.

οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς, ᾧ ἔδωκε κρόνου παῖς ἀγκυλομήτεω.
σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βασιλεύῃ.

ILIAD. ζ

οὐκ ἂν ἔγωγε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.

THEOGN.

οὐκ ἔστι θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι.

ILIAD. θ.

οὐκ ἂν ἐγώγ' ἐθέλοιμι Διῒ κρονίωνι μάχεσθαι.

ODYSS. α.

οὐκ οἶδ', οὐ γάρ πω τίς ἑὸν γόνον αὐτὸς ἀνέγνω.

ODYSS. θ.

οὐκ ἀρετᾷ πακὰ ἔργα, κιχάνει τοι βραδὺς
ὠκύν.
καὶ βραδὺς εὔβουλος εἷλεν ταχὴν ἄνδρα
διώκεν.

*HESIOD. β.*

οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς.

*THEOGNIS.*

θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.

*EPIGRAM.*

οὐκ ἀγαθῶν θάνατος φείδεται ἀλλὰ κακῶν

*PHOCYL.*

οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄ-
τυκτον.

*SIBYL.*

οὐκ ἔγνως τί θεὸς δύναται, τί δὲ μηχανᾶται.

*THEO. IDYLL. ε*

οὐ θεμιτὸν λάκων ποτ' ἀηδόνα κίσσας ἐρίσδεν,
οὐδ' ἔποπας κύκνοισι.

*HOM. ILIAD. ρ.*

οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων, ὅσα τε γαῖαν ἐπιπνείει τε καὶ
ἕρπει.

*ODYS. θ.*

Οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος ὄφρα κεν ᾖσιν
ἢ ὅτε ποσσίν τε ῥέξει καὶ χερσὶν ἑῇσιν.

IBIDEM.

Οὐ μὲν γάρ τις πάμπαν ἀνώνυμος ἐς ἀνθρώπων
οὐ κακὸς οὐδὲ μὲν ἐσθλός.

ODYSS. ξ.

Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν.

HESIOD. β

Οὐ μὲν γάρ τοι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς. τῆς δ' αὖτε κακῆς οὐ ῥί-
γιον ἄλλο &c.

GREGOR. NAZ.

Οὐ νόμος, οὐ δεκάτη μ' οὐκ ἔργματα καλὰ
σαώσει.

ARISTOPH. IN PACE.

Οὔποτε ποιήσεις τὸν κάρκινον ὀρθὰ βαδίζειν,
οὐδέποτ' ἂν θείης λεῖον τὸν τραχὺν ἐχῖνον:
οὐ δ' ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν.

THEOGNIS.

Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιή, καὶ αὐχένα λοξὸν ἔχει.
οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται, οὐδ'
ὑάκινθος,
οὐδέποτ' ἐκ δούλης τέκνον ἐλεύθερον.

PHOCYLI.

Οὐ πολλῶ

## ΟΥ

οὐ πολλὼ ἄνθρωποι ζώομεν χρόνον, ἀλλ' ἐπὶ
καιρόν.

LINVS.

οὓς ἐπιθυμίη ἡνιοχεῖ μάργοις χαλίνοισι.

HOM. ILIAD. γ.

οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα,
ὅσσα κεν αὐτοὶ δῶσιν, ἑκὼν δ' οὐκ ἄν τις
ἕλοιτο.

ODYSS. θ.

οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν
ἀνδράσιν, οὔτε φυὴν, οὔτ' ἂρ φρένας,
οὔτ' ἀγορητύν &c.

HESIOD. α.

οὕτως οὔτι πη ἐστὶ διὸς νόον ἐξαλέασθαι.

Eodem Libro.

οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ,
φρασσάμενος, τά κ' ἔπειτα καὶ ἐς τέλος
ᾖσιν ἀμείνω.
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πί-
θηται.
ὃς δέ κε μήτ' αὐτῷ νοέει, μήτ' ἄλλου ἀκούων,
ἐν θυμῷ βάλληται ὅ δ' αὖτ' ἀχρήϊος
ἀνήρ.

THEOGN.

οὔτοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι.
οὔ τι μάλ' ἀνθρώποις κατὰ θύμια πάντα τελεῖται.
πολλῶν γὰρ θνητῶν κρείσσονες ἀθάνατοι

IDEM.

οὔτ' ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

SOLON.

οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ.

ARATVS.

οὕτω γὰρ μογεροὶ καὶ ἀλήμονες ἄλλοθεν ἄλλοι
ζώομεν ἄνθρωποι.

Callimachus.

οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν,
οὔτ' ἀρετὴ ἀφένοιο. δίδου δ' ἀρετήν τε καὶ ὄλβον.

DIONYSIVS.

οὕτως ἀνθρώποις ἑτεροῖα πάντα τέτυκται.

LINVS.

οὐχ ὁσίη γυνὴ κακὰ ῥάπτειν ἀλλήλοισι.

ODYSS. χ.

οὐχ ὅσιον κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.

HOM. ILIAD. β.

οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε.

THEOGN.

οὐ χρὴ κιγχλίζειν ἀγαθὸν βίον, ἀλλ᾽ ἀτρεμίζειν.

ATHENÆVS

LIB. V.

οὐ χρὴ συμποσίοισι φίλους ἀπέχεσθαι ἑταίρους δηρὸν, ἀνάμνησις γὰρ πέλει χαριεστάτη αὕτη.

PHOCYL.

οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούειν.

οὐ γὰρ δὴ νοέουσ᾽, οἱ μηδέποτ᾽ ἐσθλὰ μαθόντες.

Δόξα μόνῳ τῷ θεῷ.

Τέλος.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0139-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0140-5

G. 4318

N. C.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0141-0



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0142-6

# ΓΝΩΜΑΙ
## ΠΟΙΗΤΩ͂Ν.

# VERSVS SEN- TENTIOSI, EX GRAE- CORVM POEMATIS VETVSTIS
collecti, ad literarum ordinem digesti, & nunc auctiores editi, opera & studio

*Bartholomæi Schönbornii Viteb. D.*



VVITEBERGÆ
*Excudebat Zacharias Lehman,*
*M. D. LXXXIII.*

3 15[?]

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-206025-p0143-1